« . . . μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Φορμίζων· δοιὼ δὲ κυβιστῆρε κατ' αὐτούς,
Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσον. »

Καὶ ὅτε Ὀδυσσεὺς ἐλθὼν εἰς τὴν αὐτοῦ οἰκίαν, ὑπεκρίνετο ὅτι γάμους τελέσει ἰδίους, ἐκέλευσε θεῖον ἀοιδὸν, ἔχοντα φόρμιγγα λιγείην ἡγεῖσθαι φιλοπαίγμονος ὀρχηθμοῦ·

« . . . ὁ δ' εἵλετο θεῖος ἀοιδὸς
Φόρμιγγα γλαφυρὴν, ἐν δὲ σφισιν ἵμερον ὦρσεν
Μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο. » (2)

Καὶ Ἡσίοδος δὲ περιγράφων τὰ τῶν γάμων, λέγει· (3)

« Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἔσαν ἀοιδὴν,
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα ».

Ἀλλ' ἐν καιρῷ πένθους οὐ θέμις ἦν κιθάρᾳ χρῆσθαι, ὡς ἐκ τῶν τοῦ Αἰσχύλου ἐν Ἱκέτισι (689—94) φαίνεται. Καὶ ταῦτα μὲν περὶ τοῦ κοινοῦ χοροῦ.

§ 13. Θ'. Εἰς δὲ τὸν Τραγικὸν χορὸν ἐχρῶντο χορεύοντες αὐλοῖς καὶ ἁρμονίᾳ τῇ Μιξολυδιστὶ καὶ τῇ Δωρίῳ. Διὸ καὶ Πλούταρχος λέγει (4). « Τὴν δὲ Μιξολυδιστὶ ἁρμονίαν θρηνώδη καὶ Πλάτων ὠνόμασε (5). Καὶ ἡ Μιξολύδιος δὲ παθητική τίς ἐστι Τραγῳδίαις ἁρμόζουσα (6). Ἀριστόξενος δέ φησι Σαπφὼ πρώτην

(1) Ὀδ. Δ. 17. (2) Αὐτόθ. ψ. 145. (3) Ἡρακλ. Ἀσπ. 278 καὶ 280. (4) Περὶ Μουσικ. (5) Πλάτ. Πολιτ. γ'. (6) « Ἐν τοῖς χρόνοις τοῖς μετὰ τὴν ἅλωσιν Τροίης παρ' Ἕλλησιν ἐθαυμάζετο πρῶτος Θέμις ὀνόματι. Ἐξεῦρε γὰρ οὗτος τραγικὰς μελῳδίας, καὶ πρῶτος ἐξέθετο δράματα. Μετὰ δὲ τοῦτον Μίνως, καὶ μετὰ Μίνωα, Αὐλέας Τραγικοὺς χοροὺς δραμάτων συνεγράψατο. » Ἰωάνν. Μαλαλ. χρονογραφ. λόγ. έ.

εὕρασθαι τὴν Μιξολυδιστὶ, παρ' ἧς τοὺς Τραγικοὺς μαθεῖν. Λαβόντας γοῦν αὐτὴν συζεῦξαι τῇ Δωριστί· ἐπεὶ ἡ μὲν ἀξιωματικὸν καὶ μεγαλοπρεπὲς ἀποδίδωσιν, ἡ δὲ τὸ παθητικόν· μέμικται δὲ διὰ τούτων ἡ Τραγῳδία » (1)· Ὡσαύτως καὶ Ἀριστοτέλης φησί· « Διὰ τί οἱ ἐν Τραγῳδίᾳ χοροὶ, οὐθ' ὑποδωριστὶ, οὐθ' ὑποφρυγιστὶ ᾄδουσιν; Ἢ ὅτι τὸ μέλος ἥκιστα ἔχουσιν αὗται αἱ ἁρμονίαι, οὗ δεῖ μάλιστα τῷ χορῷ. Ἦθος δὲ ἔχει, ἡ μὲν ὑποφρυγιστὶ, πρακτικόν· ἡ δὲ δωριστὶ, μεγαλοπρεπὲς καὶ στάσιμον· διὸ καὶ κιθαρῳδικωτάτη ἐστὶ τῶν ἁρμονιῶν. Ταῦτα δὲ ἄμφω χορῷ μὲν ἀνάρμοστα, τῆς δὲ ἀπὸ σκηνῆς οἰκειότερα· ἐκεῖνοι μὲν γὰρ ἡρώων μιμηταί· οἱ δὲ ἡγεμόνες τῶν ἀρχαίων μόνον ἦσαν ἥρωες, οἱ δὲ λαοὶ, ἄνθρωποι, ὧν ἐστιν ὁ χορός· διὸ καὶ ἁρμόζει αὐτῷ τὸ γοερὸν καὶ ἡσύχιον ἦθος καὶ μέλος (ἀνθρώπινα γάρ). Ταῦτα δὲ ἔχουσιν αἱ ἄλλαι ἁρμονίαι, ἥκιστα δὲ αὐτῶν ἡ ὑποφρυγιστὶ, ἐνθουσιαστικὴ γὰρ καὶ βακχική. Κατὰ μὲν οὖν ταύτην πάσχομέν τι (παθητικοὶ γὰρ οἱ ἀσθενεῖς μᾶλλον τῶν δυνατῶν εἰσι)· διὸ καὶ αὕτη ἁρμόττει τοῖς χοροῖς. Κατὰ δὲ τὴν ὑποδωριστὶ καὶ ὑποφρυγιστὶ, καὶ πράττομεν, ὃ οὐκ οἰκεῖόν ἐστι χορῷ· ἔστι γὰρ ὁ χορὸς κηδευτὴς ἄπρακτος· ἔννοιαν γὰρ μόνον παρέχεται, οἷς πάρεστιν » (2).

§. 14. Γ'. Ἐν γένει δὲ, τρία κυριώτερα εἴδη ἤθους μνημονεύονται, διασταλτικὸν, συσταλτικὸν καὶ ἡσυχαστικόν· « ἔστι δὲ διασταλτικὸν ἦθος μελοποιΐας, δι' οὗ σημαίνονται μεγαλοπρέπεια καὶ δίαρμα ψυχῆς ἀνδρῶδες, καὶ πράξεις ἡρωϊκαὶ καὶ πάθη τούτοις οἰκεῖα· χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ Τραγῳδία, καὶ τῶν λοιπῶν δὲ ὅσα τούτον ἔχεται τοῦ χαρακτῆρος. Συσταλτικὸν δὲ, δι' οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διάθεσιν· ἁρμόσσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς πάθεσι, καὶ θρήνοις καὶ οἴκτοις καὶ τοῖς παραπλησίοις. Ἡσυχαστικὸν δὲ ἦθός ἐστιν, ᾧ παρέπεται ἡρεμότης ψυχῆς καὶ κατάστημα ἐλευθέριόν τε καὶ εἰρηνικόν· ἁρμόσσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβουλαὶ καὶ τὰ τούτοις ὅμοια ». (3)

§. 15. ΙΑ'. Τὸ δὲ ἀρχαιότατον σύστημα τῆς διὰ σημείων παραστάσεως φαίνεται συνιστάμενον εἰς τὸν προσδιορισμὸν τῶν τοῦ Ἀλφαβήτου γραμμάτων, ἵνα δηλῶνται οἱ διάφοροι φθόγγοι τῆς Κλίμακος· Καθ' ὅσον ἡ τῆς κλίμακος ἔκτασις ἐμεγαλύνετο, ἡ

(1) Πλούταρχ. Αὐτόθ. (2) Ἀριστοτ. Προβλημάτ. Τμήμ. 19. §. 49, καὶ 30, 31. (2) Εὐκλείδ. 21. Ἀριστείδ. 29.

μόνη γενομένη ἀλλοίωσις φαίνεται ἡ εἰσαγωγὴ νέων σημείων, ἅπερ ἐσχηματίζοντο ἢ διὰ γραμμάτων τονουμένων, ἢ διεστραμμένων, ἢ καὶ διαφόρως περικεκομμένων. Μεγάλη προὐξενεῖτο περιπλοκὴ ἐν τῇ χρήσει δύο διαφόρων σημείων δι' ἕκαστον φθόγγον, τοῦ μὲν διὰ τὴν φωνὴν, τοῦ δὲ διὰ τὸ ὄργανον. Ταῦτα δὲ τὰ δύο σημεῖα ἔγραφον ἄνωθεν τῆς συλλαβῆς, ἐν ᾗ ἀνῆκον, τὸ ἓν ὑπὲρ τὸ ἄλλο. Περὶ τούτων ἀρχαῖοι Ἕλληνες Συγγραφεῖς ἔγραψαν, πληρέστερον δὲ ὁ Ἀλύπιος, ἐκτιθεὶς τὰ σημεῖα, οἷς ἐχρῶντο διὰ τοὺς φθόγγους εἰς πεντεκαίδεκα τρόπους ἐν τοῖς τρισὶ γένεσιν, ἐπὶ διαγραμμάτων τεσσαράκοντα καὶ πέντε (1). Τὰ πρὸς τὰ ὄργανα σημεῖα δῆλον, ὅτι αὐθαιρέτως ἐξελέγοντο, ἐπειδὴ οὐδεὶς ἄχρι τοῦδε ἀνευρέθη νόμος ἐν αὐτοῖς, ἀλλὰ τὰ φωνητικὰ σημεῖα, ἃ καὶ ἀρχαιότερα ἴσως ἦν, φέρονται τακτικῶς. Οἱ κατὰ τὸ μέσον τῆς κλίμακος φθόγγοι τοῖς τοῦ Ἰωνικοῦ ἁλφαβήτου (2) γράμμασι δηλοῦνται λαμβανομένοις κατὰ τάξιν. Γράμματα τονούμενα ἢ ἄλλως μεταβεβλημένα ἐπὶ τῶν ὑψηλοτέρων καὶ χθαμαλωτέρων φθόγγων ἐτίθεντο. Πολὺς ἀπῃτεῖτο κόπος ἵνα μάθῃ τις ἐντελῶς τὸ σύστημα, καὶ ἡ δυσκολία αὐτῶν φαίνεται μεγαλοποιηθεῖσα ὑπό τινων Συγγραφέων (3). Ὀλίγα τινὰ παραδείγματα τῆς ἀρχαίας μελοποιΐας περιεσώθησαν δι' ἀρχαίων σημείων. Τὰ περὶ τούτων εὑρηνται παρὰ Burney (4), ἐκτιθέμενα διὰ τῶν ἤδη Εὐρωπαϊκῶν σημείων μετὰ ῥυθμοῦ ἐξ εἰκασίας. Τὰ δὲ ἄριστα τούτων δύναταί τις ἰδεῖν παρὰ Boeckh (5) μετὰ ῥυθμοῦ διαφόρου. Συντίθενται δὲ ταῦτα ἐκ τῶν ῥημάτων τῆς Α'. τῶν Πυθίων ᾠδῆς· ὑπολαμβάνει δὲ ὁ προμνημονευθεὶς Συγγραφεὺς, ὅτι καὶ γνήσια βεβαίως εἰσὶ, καὶ εἰς χρόνον ἀρχαιότερον τῶν 15 τόνων (modes) ἀνάγονται. Ἀλλὰ πᾶν ὅτι δυνάμεθα εἰπεῖν περὶ τούτου ἐστὶν, ὅτι οὐδεμίαν ἀκριβῆ ἰδέαν δύναταί τις ἤδη λαβεῖν περὶ τοῦ πραγματικοῦ ἀποτελέσματος αὐτῶν, ὅπως τὸ πάλαι ἐξετελοῦντο (6).

§ 16. Καὶ ταῦτα μὲν περὶ τῆς ἡμετέρας Μουσικῆς, τῆς

---

[1] Μάρκος ὁ Μεϊβώμιος ἐξέδοτο βίβλον μετὰ Λατινικῆς μεταφράσεως καὶ σχολίων, περιέχον τὰ Συγγράμματα, Διαγράμματα καὶ Σημεῖα ἑπτὰ Συγγραφέων Μουσικῶν Ἑλλήνων, Ἀριστοξένου, Εὐκλείδου, Νικομάχου, Ἀλυπίου, Γαυδεντίου, Βακχείου καὶ Ἀριστείδου. [2] Εἰς τὸν Σιμωνίδην ἀναφερομένου. [3] Ἴδε Boeckh, iii. 9. [4] Vol. 1. p. 83 [5] iii. 12. [6] Περὶ τῶν συγγραψάντων περὶ τῆς καθ' Ἕλληνας Μουσικῆς, ἴδε τὸ ὑπὸ Πελοπίδου μέγα Θεωρητικὸν τοῦ ἀοιδίμου Χρυσάνθου Προύσης ἐν τῷ ἱστορικῷ μέρει.

Ἑλληνικῆς, τῆς Μουσικῆς τῶν περικλεῶν προγόνων ἡμῶν, τῆς Μουσικῆς τοῦ ἐνδόξου Ἔθνους ἡμῶν (1). Ἤδη δὲ ἀναδιφῶντες τὴν Παλαιὰν Διαθήκην, ἴδωμεν ἐν αὐτῇ καὶ τὴν καθ' Ἑβραίους Μουσικήν.

§. 17. Ὅτι μὲν ἡ τῶν Ἑβραίων Μουσικὴ, κατὰ τὸ εἶδος αὐτῆς, εἶχέ τι ἐξαίρετον καὶ τέλειον, συνάγεται ἔκ τε τοῦ ὕψους καὶ τῆς μεγαλειότητος τῶν ἐν τοῖς ψαλμοῖς τοῦ Προφητάνακτος περιεχομένων ὑποθέσεων, καὶ ἐκ τῶν θαυμασίων ἐνεργειῶν αὐτῆς, αἵτινες καταφαίνονται ἐν τῇ τοῦ Δαβὶδ κινύρα, δι' ἧς αὐτὸς ἀνέψυχε τὸν Σαοὺλ, ἐξελαύνων ἀπ' αὐτοῦ τὸ πονηρὸν πνεῦμα. « Καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαοὺλ, καὶ ἐλάμβανε Δαβὶδ τὴν κινύραν, καὶ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε Σαοὺλ, καὶ ἀγαθὸν αὐτῷ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν » (2). Περὶ δὲ τῆς ἰδιαιτέρας φύσεως καὶ ποιότητος τῆς Μουσικῆς ταύτης οὐδὲν ἀκριβῶς γινώσκομεν· βέβαιον δ' ὅμως ἐστὶν, ὅτι τὴν ψαλμῳδίαν συνώδευον καὶ ὄργανα μουσικὰ, οἷον τύμπανα, σάλπιγγες, κιθάραι καὶ ἄλλα. Καὶ πρῶτον τοῦτο φαίνεται ἐν τῇ ἱστορίᾳ τοῦ Ἰακὼβ, ὃν κρύφα φυγόντα ἀπὸ τοῦ πενθεροῦ Λάβαν, καταδιώξας αὐτὸς καὶ καταλαβὼν ἐπὶ τῶν ὀρέων Γαλαὰδ, πρὸς τοῖς ἄλλοις εἶπεν αὐτῷ καὶ ταῦτα· « Τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας; . . . καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ' εὐφροσύνης, καὶ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ χορῶν » (3). Καὶ ἀπὸ τοῦ πυκνοῦ δὲ νέφους τοῦ περικαλύψαντος τὸ Σινᾶ Ὄρος, ὅτε ὁ Θεὸς ἐκάλεσε τὸν Μωϋσῆν, ἵνα δῷ αὐτῷ τὰς δέκα ἐντολὰς, μετὰ τῶν ἀστραπῶν καὶ βροντῶν ἠκούετο καὶ ἦχος σάλπιγγος. Ἀλλὰ καὶ αὐτὸς ὁ Θεὸς παραγγέλλει τῷ Μωϋσεῖ, περὶ τὰ τέλη τῆς διὰ τῆς ἐρήμου διαβάσεως τῶν Ἑβραίων, τὴν κατασκευὴν σαλπίγγων, πρῶτον, ἵνα προσκαλῆται δι' αὐτῶν καὶ συνάγηται ἡ Συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· δεύτερον δὲ, ἵνα ἐμψυχῶνται οἱ στρατιῶται ἐν καιρῷ πολέμου, καὶ ἀναμιμνήσκωνται τὴν παρὰ Θεοῦ πεμπομένην αὐτοῖς σωτηρίαν· καὶ τρίτον, πρὸς εὐφροσύνην αὐτῶν ἐν ταῖς ἑορταῖς

---

[1] Περὶ τῶν τῆς Ἑλληνικῆς Μουσικῆς φθόγγων, τῶν διαστημάτων, τῶν γενῶν, τῶν συστημάτων, τῶν τόνων κτλ. οὐδεὶς ἐνταῦθα λόγος ἐγένετο, ὡς ἀναγομένων εἰς τὸ ἐπιστημονικὸν τῆς Μουσικῆς μέρος, ἰδίαν ἀπαιτοῦν Πραγματείαν, περὶ ἣν ἴδε τὸ ὑπὸ Δ. Πανταζῆ μεταφρασθὲν ἐκ τοῦ Ἀγγλικοῦ πρωτοτύπου Λεξικὸν τῆς Ἑλληνικῆς Ἀρχαιολογίας ἐν σελίδι 1161 καὶ ἑξῆς. [2] Βασιλ. Α'. ις'. 23. [3] Γεν. λά. 26. 27.

καὶ νουμηνίαις αὐτῶν. « Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· ποίησον σεαυτῷ δύο σάλπιγγας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτάς· καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολάς· καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχθήσεται πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου » (1). « Ἐὰν δὲ ἐξέλθητε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπεναντίους τοὺς ἀνθεστηκότας ὑμῖν, καὶ σημανεῖτε ταῖς σάλπιγξι, καὶ ἀναμνησθήσεσθε ἔναντι Κυρίου, καὶ διασωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν· καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν, καὶ ἐν ταῖς ἑορταῖς ὑμῶν, καὶ ἐν ταῖς νουμηνίαις ὑμῶν, σαλπιεῖτε ταῖς σάλπιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασι καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν » (2). Τὴν χρῆσιν τῶν σαλπίγγων μόνοις τοῖς ἱερεῦσιν ἐπιτρέπει ὁ Μωϋσῆς, ὡς τοῦτο βλέπομεν ἐκπληροῦντας ἐν τῷ πρὸς τοὺς Μαδιανίτας πολέμῳ (3), καὶ ἐν τῇ πολιορκίᾳ τῆς Ἱεριχοῦς (4). Ἀκολούθως δὲ τὴν τῶν μουσικῶν ὀργάνων χρῆσιν κατὰ τὰς θρησκευτικὰς τελετὰς εἰσήγαγε καὶ ὁ Δαβὶδ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐφεξῆς δὲ καὶ ὁ Σολομὼν, καὶ οἱ μετ' αὐτὸν, ἐν τῷ ναῷ τοῦ Κυρίου. « Πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν (Αἰμὰν) ὑμνῳδοῦντες ἐν οἴκῳ Θεοῦ ἐν κυμβάλοις, καὶ ἐν νάβλαις, καὶ ἐν κινύραις εἰς τὴν δουλείαν οἴκου τοῦ Θεοῦ, ἐχόμενα τοῦ Βασιλέως » (5).

§. 18. Οὐ μόνον οἱ ἄνδρες, ἀλλὰ καὶ αὐταὶ αἱ γυναῖκες εἰδήμονες ἦσαν τῆς Μουσικῆς. Τὴν ᾠδὴν, ἣν ὁ Μωϋσῆς ποιήσας ἐν ἑξαμέτροις στίχοις, κατὰ τὸν Ἰώσηπον (6), μετὰ τὴν διὰ τῆς Ἐρυθρᾶς θαλάσσης διάβασιν τῶν Ἑβραίων, ἔψαλλε μετὰ τῶν ἀνδρῶν πρὸς εὐγνωμοσύνην εἰς τὸν Θεὸν διὰ τὴν θαυμαστὴν σωτηρίαν αὐτῶν, ταύτην, ἐξαρχούσης τῆς ἀδελφῆς αὐτοῦ Μαριὰμ, ἔψαλλον καὶ πᾶσαι αἱ γυναῖκες μετὰ χορῶν καὶ τυμπάνων. « Τότε ᾖσε Μωϋσῆς καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ Θεῷ, καὶ εἶπαν λέγοντες· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται » (7). « Λαβοῦσα δὲ Μαριὰμ ἡ προφῆτις ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξῆλθοσαν πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμπάνων καὶ χορῶν· ἐξῆρχε δὲ αὐτῶν Μαριὰμ, λέ-

---

[1] Ἀριθμ. Ι'. 1—4. [2] Αὐτόθ. 9, 10. [3] Αὐτόθ. λά. 6, 7. [4] Ἰησ. Ναυῆ ς'. 1—9. [5] Παραλειπ. Α'. κέ. 6. [6] « Καὶ Μωϋσῆς ᾠδὴν εἰς τὸν Θεὸν, ἐγκώμιόν τε καὶ τῆς εὐμενείας εὐχαριστίαν περιέχουσαν, ἐν ἑξαμέτρῳ τόνῳ συντίθησιν. » Ἰουδ. Ἀρχαιολ. Βιβλ. β'. κεφ. 16. §. 4. [7] Ἐξοδ. ΙΕ'. 1.

κή.

γουσα· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν » (1). Καὶ τὴν δ'. δὲ ᾠδὴν γυνὴ συνέταξεν, Ἄννα ἡ προφῆτις, ἡ τοῦ προφήτου Σαμουὴλ μήτηρ, πρὸς εὐχαρίστησιν τῆς εὐεργεσίας, ἣν παρὰ Θεοῦ ἔλαβεν.

§. 19. Ἐπὶ τοῦ Βασιλέως καὶ Προφήτου Δαβὶδ καὶ τῶν διαδόχων αὐτοῦ, μεγίστην ἔλαβε πρόοδον ἡ Ἑβραϊκὴ Μουσική. Μόνη ἐκ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἡ τοῦ Λευὶ φυλὴ ἦν προσδιωρισμένη εἰς τὴν τοῦ Κυρίου λατρείαν· ἡ δὲ ἀπαρτιζομένη ἐκ πάντων τῶν οἴκων φυλὴ τοῦ Ἀαρὼν, ὡς μεγάλου Ἀρχιερέως καταστάντος ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, ἐκληρώθη τὴν ἱερωσύνην, ἐκπληροῦσα τὰς ἱερατικὰς λειτουργίας· αἱ δὲ λοιπαὶ φυλαὶ ἄλλας ὑποδεεστέρας ἐξετέλουν ἐργασίας, οἷον, ὑπηρέτουν τοῖς ἱερεῦσιν ἐν καιρῷ τῶν θυσιῶν, σφάττοντες τὰ θύματα καὶ πλύνοντες αὐτὰ καὶ ξύλα ἐπιτιθέντες εἰς τὸ πῦρ τοῦ θυσιαστηρίου· ἐφύλαττον γρηγοροῦντες τὴν σκηνὴν τοῦ μαρτυρίου, φροντίζοντες περὶ τῆς καθαριότητος αὐτῆς τε καὶ τῶν ἱερῶν σκευῶν, ἥπτον τὴν χρυσῆν λυχνίαν, παρεσκεύαζον τοὺς ἄρτους τῆς προθέσεως, καὶ περὶ ἄλλα τοιαῦτα ἠσχολοῦντο ἔργα. Ὁ γοῦν βασιλεὺς Δαβὶδ, ἅτε σφοδρὸς τῆς μουσικῆς ἐραστὴς καὶ κρούων ἐντελῶς τὸ ψαλτήριον, φρονῶν αὐτὴν τὰ μέγιστα συντελοῦσαν πρός τε τὴν μεγαλοπρέπειαν τῆς τοῦ Θεοῦ λατρείας καὶ πρὸς τὴν τοῦ λαοῦ ἐξημέρωσιν, ὁρῶν δὲ καὶ τὸν ἀριθμὸν τῶν Λευϊτῶν ὁσημέραι πληθυνόμενον, καὶ θέλων αὐτοῖς δοῦναι οἰκείαν ἐνασχόλησιν καὶ ἀνάλογον τῷ γενικῷ αὐτῶν προορισμῷ, εἰσήγαγε τὴν χρῆσιν τῆς Μουσικῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Ποιήσας δὲ διάφορα εἴδη ᾀσμάτων καὶ ὕμνων (2) ἐν στίχοις τριμέτροις καὶ πενταμέτροις (3), καὶ κατασκευασάμενος μουσικὰ ὄργανα, διώρισεν ἐκ τῶν Λευϊτῶν τρισχιλίους ψάλτας, διηρημένους εἰς εἴκοσι καὶ τέσσαρας τάξεις κατὰ χοροὺς, παραδοὺς αὐτοῖς ταῦτα, ἵνα ψάλλωσιν ὑπὸ τὸν ἦχον τῶν ὀργάνων ἐνώπιον τοῦ Κυρίου ἐν τῇ σκηνῇ κατὰ τὰς ἱεροτελεστίας. « Καὶ ἔταξε κατὰ πρόσωπον τῆς Κιβωτοῦ διαθήκης Κυρίου ἐκ τῶν Λευϊτῶν λειτουργοῦντας ἀναφωνοῦντας, καὶ

---

(1) Αὐτόθ. 20. 21. (2) Ὁ ἱστορικὸς Φίλων ῥήσεις συχνὰς ἐκ τῶν τοῦ Δαβὶδ ψαλμῶν ἀναφέρων, ὕμνους αὐτοὺς ὀνομάζει ἐξαιρέτως καὶ ὑμνῳδίας καὶ ᾠδάς· καὶ τὸν Δαβὶδ Ὑ μ ν ο γ ρ ά φ ο ν (Τόμ. Β'. σελ. 605.) (3) « Ἀπηλλαγμένος δ' ἤδη πολέμων ὁ Δαυΐδης καὶ κινδύνων, καὶ βαθείας ἀπολαύων εἰρήνης, ᾠδὰς εἰς τὸν Θεὸν καὶ ὕμνους συνετάξατο, μέτρου ποικίλου· τοὺς μὲν γὰρ τριμέτρους, τοὺς δὲ πενταμέτρους ἐποίησεν. » (Ἰώσηπ. Ἀρχ. βιβλ. Ζ'. κεφ. 12. §. 3.)

ἐξομολογεῖσθαι καὶ αἰνεῖν Κύριον τὸν Θεὸν Ἰσραήλ » (1). « Τέσσαρες χιλιάδες αἰνοῦντες τῷ Κυρίῳ ἐν ὀργάνοις, οἷς ἐποίησε τοῦ αἰνεῖν τῷ Κυρίῳ » (2). Ὡς δὲ μετὰ τὴν λύτρωσιν τῶν Ἑβραίων ἀπὸ τῆς δουλείας τῶν Αἰγυπτίων, οἱ ἄνδρες ὑπ' ἀρχηγῷ τῷ Μωϋσῇ, καὶ αἱ γυναῖκες ἐξαρχούσης τῆς Μαριὰμ, ἔψαλλον καὶ οἱ δύο χοροὶ τὴν ἐπινίκιον ἐκείνην ᾠδὴν, οὕτω καὶ ὁ Δαβὶδ, κατὰ μίμησιν, εἰς ἑκάστην τῶν εἰκοσιτεσσάρων τούτων τάξεων, διώρισε καὶ ἕνα ἀρχηγὸν καὶ τρεῖς μουσικοδιδασκάλους τὸν Ἀσὰφ, Αἰμὰν καὶ Ἰδιθοὺν, διευθύνοντας τὴν Μουσικὴν ἐπί τε τοῦ Δαβὶδ ἐν τῇ σκηνῇ καὶ ἐπὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος ἐν τῷ Ναῷ. Ἔψαλλον δὲ οὗτοι καθ' ἑβδομάδα ἐναλλὰξ, ἐν δὲ ταῖς μεγάλαις ἑορταῖς πᾶσαι ὁμοῦ αἱ τάξεις. « Καὶ διεῖλεν αὐτοὺς ὁ Δαβὶδ ἐφημερίας τοῖς υἱοῖς Λευΐ, τῷ Γεδσὼν, Καὰθ καὶ Μεραρί » (3). Ἡ διάταξις αὕτη ἐπὶ Σολομῶντος καὶ ἐφεξῆς ἐτηρεῖτο ἐν τῷ Ναῷ μετὰ μείζονος ἔτι τάξεως καὶ μεγαλοπρεπείας· ὑπὸ γὰρ τὴν ἀρχηγίαν τῶν τεσσάρων υἱῶν τοῦ Ἀσὰφ, δεκατεσσάρων τοῦ Αἰμὰν καὶ ἓξ τοῦ Ἰδιθοὺν, ὅλων εἰκοσιτεσσάρων, ὑπήγοντο ἄλλοι εἴκοσι καὶ τέσσαρες πολυάριθμοι χοροὶ, διακρινόμενοι ἀπ' ἀλλήλων ἔκ τε τῶν μουσικῶν ὀργάνων (4), καὶ ἐκ τοῦ τόπου, ἔνθα ἐν τῷ Ναῷ ἵσταντο, ψάλλοντες ἀμοιβαδὸν, οἱ μὲν ἐκ τοῦ οἴκου Καὰθ ἐν τῷ μέσῳ, οἱ δ' ἐκ τοῦ Γεδσὼν δεξιόθεν, καὶ οἱ τοῦ Μεραρὶ ἐξ ἀριστερῶν. « Καὶ οὗτοι οἱ ἑστηκότες, καὶ υἱοὶ αὐτῶν ἐκ τῶν υἱῶν τοῦ Καὰθ, Αἰμὰν ὁ ψαλτῳδὸς, υἱὸς Ἰωὴλ, υἱοῦ Σαμουήλ . . . Καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀσὰφ, ὁ ἑστηκὼς ἐν δεξιᾷ αὐτοῦ . . . Καὶ υἱοὶ Μεραρὶ οἱ ἀδελφοὶ αὐτῶν ἐξ ἀριστερῶν » (5). Εἰ ἐν τῷ Ναῷ ὑπῆρχον καὶ γυναῖκες ψάλτριαι, τοῦτο ἀμφισβητεῖται· ἐπὶ θρησκευτικῶν ὅμως πομπῶν καὶ παρατάξεων, ἔξω τοῦ Ναοῦ τελουμένων, ὁρῶμεν ἐν τῇ θείᾳ Γραφῇ καὶ γυναῖκας μετὰ τῶν ἀνδρῶν ᾀδούσας, ὡς τὴν τοῦ Μωϋσέως Μαριὰμ καὶ τὰς ἄλλας γυναῖκας μετὰ τὴν διάβασιν· καὶ τὸν Δαβὶδ ἐπιστρέφοντα μετὰ τὴν νίκην

---

(1) Παραλειπ. Α'. ις'. 4. (2) Αὐτόθ. κγ'. 5. (3) Αὐτόθ.—6 (4) Οἱ μὲν ὑπὸ τὸν Ἀσὰφ ἔψαλλον, ὡς λέγεται, χρώμενοι τῇ νάβλᾳ ἢ τῷ ψαλτηρίῳ, οἱ δὸ ὑπὸ τὸν Αἰμὰν, τοῖς κυμβάλοις, οἱ δὲ ὑπὸ τὸν Ἰδιθοὺν τῇ κινύρᾳ. Καὶ ἡ μέν κινύρα συνώνυμός ἐστι τῆς Ἑλληνικῆς κιθάρας· τὸ δὲ ψαλτήριον, φαίνεται μὲν ὁπωσοῦν διάφορον τῆς κιθάρας, διὸ καὶ διακρίνονται πολλάκις (ὡς ἐν Γεν. δ'. 21: ψαλμ. λδ'. ϙά, ρμγ'. Ἰώσηπ. Ἀρχ. Α'. β'. 2), ἐκλαμβάνονται ὅμως καὶ συνώνυμα, ὡς ἀμφότερα δεκάχορδα ὄργανα, μεθ' ὧν καὶ ἡ δωδεκάχορδος νάβλα. (5) Παραλειπ. Α'. ς'. 34. 39. 44.

κατὰ τοῦ Γολιὰθ εἰς τὴν πόλιν, ὑπεδέχθησαν αἱ γυναῖκες μετὰ χορῶν καὶ τυμπάνων ψάλλουσαι ἐν ἐγκωμίοις, « Ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαβὶδ ἐν μυριάσιν αὐτοῦ » (1), ὅπερ ἐξῆψεν ἔτι μᾶλλον τὸν κατ' αὐτοῦ φθόνον τοῦ Σαούλ. Ὡσαύτως καὶ ἐπὶ τῆς μετακομίσεως τῆς Κιβωτοῦ εἰς τὸν ἐν Ἱερουσαλὴμ οἰκοδομηθέντα ὑπὸ τοῦ Σολομῶντος Ναὸν, καὶ ἐν ἄλλαις περιστάσεσιν.

§. 20. Ἐπειδὴ πάντες οὗτοι οἱ ἐκ μόνης τῆς φυλῆς Λευὶ ὡρισμένοι ψάλται εἰς τὴν τοῦ Κυρίου λατρείαν, ἐνησχολοῦντο καθ' ὅλην τὴν ζωὴν αὐτῶν περὶ τὸ μανθάνειν καὶ ἀσκεῖσθαι τὴν Μουσικὴν τέχνην, συντηρούμενοι πάντως δι' ὡρισμένων προσόδων, ἔχοντες μάλιστα ἕκαστος αὐτῶν καὶ τὴν φιλοτιμίαν, ἵνα προβιβασθῇ εἰς τὸ τοῦ Ἀρχιμουσικοῦ ἀξίωμα, ὡς οὐ σμικρὰν τιμὴν καὶ δόξαν φέρον, καὶ ἐπειδὴ προσέτι προὐθυμοῦντο, ὅπως ἐπιδείξωσι τὴν ἑαυτῶν τέχνην πρὸς ἅπαντας τοὺς ὁμοεθνεῖς συνερχομένους τρὶς τοῦ ἐνιαυτοῦ εἰς τὸν περίβλεπτον ἐκεῖνον Ναὸν τῆς Ἱερουσαλὴμ, ἕπεται ὅτι οὐ μόνον εὐδοκίμουν ἐν τῇ Μουσικῇ, ἀλλὰ καὶ εἰς μεγάλην τινὰ τελειότητα προήγαγον αὐτὴν, ὅπερ δείκνυται ἐκ τῆς περὶ αὐτῶν φήμης παρὰ τοῖς ἄλλοις τότε ἔθνεσιν, ὡς ἐξόχων καὶ ἀρίστων μουσικῶν. Ὅτε, κατὰ τὸ 588 π. Χ. ἔτος, ὁ ἐν τῇ ὑπηρεσίᾳ τοῦ Ναβουχοδονόσορος Ναβουζαρδὰν εἰσελθὼν εἰς τὴν Ἱερουσαλὴμ, τὸν μὲν ναὸν τοῦ Σολομῶντος κατέκαυσε καὶ τὸν οἶκον τοῦ ἐσχάτου βασιλέως Σεδεκίου, (ὃν πρὸ ἑνὸς μηνὸς ὁ Ναβουχοδονόσορ αἰχμάλωτον λαβὼν, ἔσφαξεν ἐνώπιον αὐτοῦ τοὺς υἱοὺς αὐτοῦ, καὶ τυφλώσας ἔρριψε διὰ βίου εἰς τὸ ἐν Βαβυλῶνι δεσμωτήριον·) τὰ δὲ τείχη τῆς πόλεως καὶ αὐτὴν ὅλην κατηδάφισε, τὸν δὲ Ἀρχιερέα καὶ πολλοὺς τῶν ἐν ἀξιώμασι καὶ ἑξήκοντα προκρίτους ἀπαχθέντας εἰς Βαβυλῶνα ὁ Ναβουχοδονόσορ ἀπέκτεινεν, οἱ ἐν αἰχμαλωσίᾳ τότε Ἰουδαῖοι μεμνημένοι ἀείποτε τῆς Ἱερουσαλὴμ, ἐπένθουν πικρῶς διὰ τὰς συμφορὰς αὐτῶν· καί τοι δὲ πολλάκις οἱ αἰχμαλωτεύσαντες αὐτοὺς Βαβυλώνιοι ἐδέοντο αὐτῶν, ὅπως ψάλλωσί τινας ἐκ τῶν ᾠδῶν Σιὼν, οἱ Λευῖται ὅμως ἠρνοῦντο λέγοντες, ὅτι ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ τῆς Ἱερουσαλὴμ ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν, ἐνταῦθα δὲ πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Ἄσματα δέ τινα ἐπὶ παραμυθίᾳ τῶν τεθλιμμένων αὐτῶν ἀδελφῶν ποιοῦντες διὰ τὴν στέρη-

(1) Βασ. Α'. ιζ'.

σιν τῆς πατρίδος, ἔψαλλον ἰδίως τὰ παθήματα μόνον αὐτῆς καὶ τὴν τοῦ Ναοῦ καταστροφὴν, ἐπικαλούμενοι τὸ παρὰ τοῦ Ὑψίστου ἔλεος. Ἀνάγνωθι τὸν συγκινητικώτατον ρλς'. ψαλμὸν τοῦ θεσπεσίου Δαβίδ.

§. 21. Ὅτι δὲ καὶ πρὸ τοῦ Κανόνος τοῦ παρ' Ἔσδρα θεσπισθέντος τῶν κδ'. θεοπνεύστων Γραφῶν, καὶ πρὸ τῆς μετοικεσίας ἀνεγίνωσκον οἱ Ἑβραῖοι, ἡ ἔψαλλόν τινας περικοπὰς ἐκ τῶν Προφητικῶν βίβλων, τοῦτο καὶ ἐκ τῶν προειρημένων δείκνυται, διότι βλέπομεν σαφῶς ἔν τε ταῖς Βασιλείαις καὶ τοῖς Παραλειπομένοις ᾀδομένους τινὰς τῶν ψαλμῶν τοῦ Δαβὶδ, καὶ τοὺς ὑπ' αὐτοῦ διδαχθέντας ἱεροψάλτας « ὑμνῳδοῦντας ἐν οἴκῳ Θεοῦ, καὶ τὸν Κύριον ὑμνοῦντας ἐν λόγοις Δαβὶδ καὶ Ἀσὰφ τοῦ Προφήτου » (1). Καὶ Ἰώσηπος δὲ ἱστορεῖ, τοὺς ψαλμοὺς τοῦ Δαβὶδ κατὰ πᾶν Σάββατον καὶ τὰς ἄλλας ἑορτὰς ψαλλομένους, ἔτι ζῶντος τοῦ Προφητάνακτος, λέγων· « Τοὺς εἰς Θεὸν ὕμνους τοῦ Δαυίδου κατά τε τὴν τῶν Σαββάτων ἡμέραν καὶ τὰς ἄλλας ἑορτὰς ᾀδομένους ὑπὸ τῶν Λευϊτῶν ἔκπαλαι » (2). Ἀλλὰ καὶ αὐτὸς ὁ τὴν αἰχμαλωσίαν αὐτῶν διαγράφων ρλς'. ψαλμὸς μαρτυρεῖ, ὅτι καὶ πρὸ τῆς μετοικεσίας, ὡς εἴδομεν, ἔψαλλον οἱ Ἰουδαῖοι Λόγους Ὠδῶν, δηλονότι προφητικάς τινας ᾠδὰς εἰς Θεὸν, « Πῶς ᾄσωμεν (λέγει) τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ». Ὅτι δὲ καὶ ἐκ τῆς Πενταteύχου ᾠδάς τινας ἔψαλλον, φανερόν· ᾔδον δὲ πιθανῶς καὶ τὴν Δεβόρρας ᾠδὴν (Κριτ. έ.), ἴσως καὶ τὴν τῆς χάριτος Ἄννης θεσπεσίαν ᾠδὴν, « τὸ ᾀδόμενον ᾄσμα τῆς χάριτος » (τὸ γὰρ Ἄννα σημαίνει χάριν), ὡς Φίλων εἶπε (3)· καὶ τὴν Ἰωνᾶ (Ἰων. β'.), καὶ τὴν Ἀββακοὺμ (Ἀββ. γ'.), καὶ εἴτινας ἄλλας ἐκ τῶν προφητῶν· αὐτὸς γὰρ ὁ Φίλων, ῥῆσιν τοῦ προφήτου Ἡσαΐου ἀναφέρων, εἰς πάντας τοὺς Προφήτας ἀνάγει τὸν λόγον καθολικώτερον, « καθάπερ (φησὶν) ἐν ταῖς προφητικαῖς ᾄδεται ῥήσεσι » (4). Ἴσως δὲ καὶ τινα τοῦ Σολομῶντος ἔψαλλον (5). Ὁ δ' αὐτὸς οὗτος Φίλων, γράφων περὶ τῶν Ἐσσαίων λέγει,

---

(1) Β'. Βασιλ. κβ'. Α'. Παραλειπ. ις'. 8. κέ. 1—16. (2) Ἀρχαιολ. ζ' ιδ' §. 3. (3) Τόμ. ά. σελ. 600. πρδ. σελ. 271. (4) Αὐτόθ. σελ. 604. (5) Τῶν τοῦ Δαβὶδ ψαλμῶν ὡς ἀνέκαθεν ψαλλομένων μνημονεύουσι καὶ αὐτοὶ οἱ Ῥαββῖνοι (Bava Bathra cap. 1.) καὶ ἄλλους δέ τινας ὕμνους μελῳδουμένους ἀριθμοῦσι, καὶ μάλιστα τοὺς ἐννέα, τέσσαρας μὲν ἐκ τῆς Πενταteύχου (Ἐξόδ. κέ. Ἀριθ. κά. Δευτερ. λδ'. καὶ δν λέγουσιν ὅτι δῆθεν ἔψαλλον ἐν Αἰγύπτῳ, ὡς ὑπεσήμηνεν Ἡσ. λ'. 29), τοὺς δὲ λοιποὺς ἐκ τῶν ἄλλων βιβλίων τῆς Γραφῆς.

ὅτι διάφορα παρ' αὐτοῖς σώζονται ποιήματα τῶν ἀρχαίων ποιητῶν. Καὶ τὰ μὲν ἔπη, ἐκ πολλῶν μέτρων καὶ μελῶν συγκείμενα, ᾄδουσι πορευόμενοι εἰς τὸν Ναόν· τοὺς δὲ ὕμνους, ἐνώπιον τοῦ θυσιαστηρίου, ὅτε προσφέρουσι θυσίας καὶ σπονδὰς τῷ Κυρίῳ· ἄλλα δὲ ἔπη ψάλλουσιν ἐν καιρῷ ἡσυχίας καὶ ἀναπαύσεως, καὶ ἄλλα ἦν ὡρισμένα τοῖς χοροῖς. « Καὶ ἔπειτα ὁ ἀναστὰς ὕμνον ᾄδει πεποιημένον εἰς τὸν Θεὸν, ἢ καινὸν αὐτὸς πεποιηκὼς, ἢ ἀρχαῖόν τινα τῶν πάλαι προφητῶν » (1). Καὶ « εἶτα ᾄδουσι πεποιημένους εἰς τὸν Θεὸν ὕμνους, πολλοῖς μέτροις καὶ μέλεσι, τῇ μὲν συνηχοῦντες, τῇ δὲ καὶ ἀντιφώνοις ἁρμονίαις ἐπιχειρονομοῦντες, καὶ ἐπορχούμενοι, καὶ ἐπιθειάζοντες τοτὲ μὲν τὰ προσόδια, τοτὲ δὲ τὰ στάσιμα, στροφάς τε τὰς ἐν χρείᾳ καὶ ἀντιστρόφους ποιούμενοι » (2). Ὥστε ἐκ τοῦ ἀρχαίου τούτου ἱστορικοῦ Ἰουδαίου καὶ τοῦτο μανθάνομεν, ὅτι ἡ ψαλμῳδία τῶν Ἑβραίων ἄλλοτε ἦν σύμμιγμά τι πολλῶν φωνῶν πρὸς ἕνα ἦχον, ἄλλοτε δὲ ἁρμονικὴ μετὰ ποικίλων φωνῶν καὶ ἤχων. Τίσι δὲ καὶ πόσοις μουσικοῖς σημείοις ἐχρῶντο, ἄδηλον· διότι τὰ ἐν τῷ ἑβραϊκῷ τῆς Π. Δ. κειμένῳ ὁρώμενα ἤδη σημεῖα τῶν τόνων, καί τοι ὡς μουσικὰ ὑπολαμβάνουσί τινες, ἀλλὰ ταῦτα φαίνονται εἰσηγμένα πολλῷ ὕστερον παρὰ τῶν ἐπιγενεστέρων Ἰουδαίων. Ἓν δὲ μόνον σωζόμενον, σελ'ὰ μὲν τῇ Ἑβραΐδι γλώττῃ καλούμενον, ὑπὸ δὲ τῶν Ο'. Διάψαλμα ἑρμηνευόμενον, ἀμφισβητεῖται, εἴπερ ἦν ἐν χρήσει ὡς σημεῖον μουσικῆς.

§. 22. Ἐπανελθόντες οἱ Ἰσραηλῖται ἐκ Βαβυλῶνος εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, ἐπὶ Κύρου τοῦ πρεσβυτέρου, βασιλέως τῶν Περσῶν, ὑπὸ τὴν ὁδηγίαν τοῦ ἐκ τῆς γενεᾶς τοῦ Δαβὶδ καταγομένου Ζοροβάβελ καὶ τοῦ Ἀρχιερέως Ἰησοῦ, καὶ ἀνοικοδομήσαντες τὸν Ναὸν, εἰσήγαγον αὖθις τὴν χρῆσιν τῆς τοιαύτης Μουσικῆς ἐν αὐτῷ μετὰ τῆς αὐτῆς τάξεως καὶ μεγαλοπρεπείας, διαρκέσασαν μέχρι τῆς ἐπὶ Τίτου τελείας καταστροφῆς τῆς τε Ἱερουσαλὴμ καὶ τοῦ Ναοῦ, ὁπότε καὶ διεσπάρησαν πανταχοῦ. Καὶ ταῦτα περὶ τῆς Ἑβραϊκῆς μουσικῆς.

§. 23. Ἴδωμεν δὲ ἤδη τὴν Μουσικὴν τῶν ἐνδόξων προγόνων ἡμῶν διασωθεῖσαν, καθώσπερ καὶ τὴν γλῶσσαν αὐτῶν, ἐν τοῖς κόλποις τῆς Ἐκκλησίας. Ἑλληνικὴ γλῶσσα καὶ Ἑλληνικὴ μουσικὴ, δύο τινὰ εἰσὶ συμφυῆ, ὡς προείρηται, καὶ συνδεδεμένα πρὸς

(1) Περὶ βίου Θεωρητ. §. 10. (2) Αὐτόθ. §. 11.

ἄλληλα. Εἰ δέ γε τὸ θεῖον τοῦτο δῶρον, τὸ ἐθνικὸν κληροδότημα, τὴν Ἑλληνικὴν γλῶσσαν, ἡ τοῦ Χριστοῦ ὀρθόδοξος Ἐκκλησία ἀπὸ τῆς ἀρχῆς αὐτοῦ τοῦ Α'. μ. Χ. αἰῶνος διετήρησε, διασώσασα καὶ ἐν αὐτοῖς τοῖς τῶν θείων Ἀποστόλων Συγγράμμασι, καὶ ἐν τοῖς τῶν διαδεξαμένων αὐτοὺς Ἀποστολικῶν ἀνδρῶν, καὶ ἐν τοῖς τῶν μετέπειτα θεοφόρων τῆς Ἐκκλησίας Πατέρων, καὶ ἐφεξῆς ἄχρις ἡμῶν, φυσικῷ δήπου καὶ δικαίῳ λόγῳ ἔδει, ὅπως καὶ τὴν ἀδελφὴν τῆς γλώσσης, τὴν Μουσικὴν, ἐγκολπώσηται καὶ περιθάλψῃ ἐν ταῖς ἀγκάλαις αὐτῆς, ὡς μηδαμῶς μηδέποτε δυναμένας ἀμφοτέρας ἀπ' ἀλλήλων διίστασθαι.

§. 24. Ὥσπερ ἡ Ἑλληνικὴ γλῶσσα, οὕτω καὶ πᾶσαι αἱ τέχναι καὶ ἐπιστῆμαι ἀπὸ τῆς Ἑλλάδος μετέβησαν καὶ εἰς τὴν Ἀσίαν καὶ τὴν Ἀφρικὴν καὶ ἀλλαχοῦ, καθότι ἡ Ἑλλὰς διὰ τῶν ἐπιγείων Μουσῶν καὶ Χαρίτων, τῶν πολλῶν αὐτῆς Συγγραφέων, μετεδίδου εἰς πᾶσαν τὴν οἰκουμένην τὰ διδάγματα τῆς ἀνθρωπίνης αὐτῆς σοφίας, ἥτις Θεόθεν βεβαίως ἐδόθη αὐτῇ. Ἡ εἰς Ἀσίαν τοῦ Μ. Ἀλεξάνδρου ἀνάβασις, καὶ ἡ αὐτόθι τῶν ἀμέσως αὐτοῦ διαδόχων ἐγκατάστασις, μεγάλη καὶ σοφωτάτη ἐγένετο Ἀκαδημία, ἐξ ἧς ἥ τε τῶν Ἑλλήνων γλῶσσα καὶ πᾶσαι αἱ ἐπιστῆμαι καὶ τέχναι διεδόθησαν πανταχοῦ τῆς Ἀσίας καὶ Ἀφρικῆς, καὶ κατέστη τοῖς πλείστοις τῶν μεγάλων τούτων χωρῶν λαοῖς « χεῖλος ἓν καὶ μία φωνὴ πᾶσιν » ἡ Ἑλληνική. Ὥστε γέγονε δήπου ὅ,τι φιλογενέστερον ἔγραψε μὲν ὁ Πλάτων, ἐπανέλαβε δὲ καὶ Φίλων αὐτὸς, ὅτι « Μόνη ἡ Ἑλλὰς ἀψευδῶς . . . ἀποτίκτει φυτὸν οὐράνιον, καὶ βλάστημα θεῖον, ἠκριβωμένον λογισμὸν, οἰκειούμενον ἐπιστήμῃ. »

§. 25. Ἐκ τῶν ἱερῶν τῆς Νέας Γραφῆς βίβλων μανθάνομεν, ὅτι ἡ χρῆσις τῆς Μουσικῆς, ἡ ψαλμῳδία, ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων ἦν εἰσηγμένη εἰς τὴν χριστιανικὴν λατρείαν, ὡς βλέπομεν τὸν μέγαν διδάσκαλον τῶν ἐθνῶν Παῦλον προτρέποντα τοὺς πιστοὺς τῶν πρώτων Ἐκκλησιῶν, ἵνα « πληρῶνται ἐν Πνεύματι, ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες τῷ Θεῷ. » Καὶ, « ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. » (1) Οὕτω καὶ ἐν ταῖς τῶν Ἀποστόλων διαταγαῖς ῥητῶς διατέτακται αἶνον πρὸς Θεὸν ἀναπέμπειν. « Μάλιστα δὲ ἐν τῇ ἡμέρᾳ τοῦ Σαβ-

(1) Ἐφεσ. ε. 18. 19. Κολασ. γ'. 16.

βάτου, καὶ ἐν τῇ τοῦ Κυρίου Ἀναστασίμῳ, τῇ Κυριακῇ, σπουδαιοτέρως ἀπαντᾶτε, αἶνον ἀναπέμποντες τῷ Θεῷ » (1). Οἱ δὲ χριστιανοὶ ἐχρῶντο ἢ ψαλμοῖς τῆς Π. Διαθήκης, ἢ ὕμνοις ἰδίοις ἐπὶ τούτῳ συντεταγμένοις ἐπ' εὐχαριστίᾳ πρὸς Θεὸν τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν· τὸ γὰρ τοῦ Ἀποστόλου τοῦτο « ἐν ψαλμοῖς καὶ ὕμνοις κτλ., » φαίνεται, πλὴν τῶν τοῦ Δαβὶδ, καὶ ἰδίους ὕμνους σημαῖνον, συντεθειμένους ὑπὸ τῶν πρώτων χριστιανῶν. Καὶ ἀλλαχοῦ ῥητῶς λέγει, « Ἕκαστος ὑμῶν ψαλμὸν ἔχει κτλ. » (2). Καὶ ὁ Πλίνιος δὲ (τῷ 98 ἔτει) ἱστορεῖ, ὕμνον εἰς Χριστὸν, ὡς εἰς Θεὸν, ψαλλόμενον ἐξ ὑπαμοιβῆς (3). Καὶ ὥσπερ ἐν τῇ Π. Διαθήκῃ οἱ εὐσεβεῖς ἐκεῖνοι ἄνδρες, δι' ἃς ἔλαβον παρὰ Θεοῦ εὐεργεσίας, συνέταξαν τὰς εὐχαριστηρίους αὐτῶν Ὠδὰς, ὡς ὁ μέγας Μωϋσῆς, ἡ Ἄννα ἡ προφῆτις, ὁ Ἰωνᾶς καὶ οἱ τρεῖς Παῖδες, οἱ μὲν διασωθέντες ἐκ τῆς καμίνου, ὁ δὲ ἐκ τοῦ κήτους, μάλιστα δὲ πάντων ὁ θαυμάσιος Δαβὶδ, ὃς τοὺς πλείστους τῶν αὐτοῦ ψαλμῶν μετὰ μέλους συνθεὶς προσφέρει τῷ Θεῷ πρὸς εὐχαριστίαν, ὧν παρ' αὐτοῦ ἐν διαφόροις καιροῖς ἀπήλαυσε πολλῶν καὶ μεγάλων εὐεργετημάτων, οὕτω καὶ ἐν τῇ Καινῇ Διαθήκῃ, ὅτε ἡ τοῦ Χριστοῦ Ἐκκλησία διέταξε τὰς πανηγύρεις τῶν μεγάλων Δεσποτικῶν ἑορτῶν πρὸς ἀνάμνησιν τῶν μεγίστων δωρεῶν καὶ χαρίτων, ἃς ἐπεδαψίλευσεν ἡμῖν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας, ὡς λέγει ὁ Κύρου Θεοδώρητος, « Φροντίσιν ἡμᾶς καὶ λύπαις μετὰ τὴν ἁμαρτίαν συζεύξας ὁ δημιουργήσας Θεὸς, παρέσχεν ἡμῖν παραμυθίας ψυχῆς ἀφορμὰς, τὰς θείας ἐν μέσῳ τεθεικὼς ἑορτάς· αἱ γὰρ τούτων ὑποθέσεις, καὶ τῶν θεοσδότων ἡμᾶς ἀναμιμνήσκουσι δωρεῶν, καὶ τὴν παντελῆ τῶν ἀνιαρῶν προμηνύουσι λύσιν » (4)· τότε πολλοὶ τῶν ἱερῶν τῆς Ἐκκλησίαν Πατέρων καὶ Διδασκάλων, κατὰ ζῆλον καὶ μίμησιν τῶν ἀρχαίως Ὠδῶν καὶ τῶν ψαλμῶν τοῦ Προφητάνακτος, οὐ μόνον πανηγυρικοὺς λόγους, ἀλλὰ καὶ ᾄσματα ἔμμετρα καὶ ᾠδὰς καὶ μέλη συνέταξαν, ὑμνολογοῦντα τὸν Θεὸν μετ' εὐγνωμοσύνης καὶ εὐχαριστίας, καὶ διὰ τῆς μουσικῆς μελῳδίας εὐφραίνοντα τὸν εὐσεβῆ τοῦ Κυρίου λαόν.

---

(1) Διαταγ. Ἀποστ. Βιβλ. β'. κεφ. 59. (2) Α'. Κορινθ. ιδ'. 26. ἴδε καὶ Θεοφύλακτ. αὐτόθι. (3) Plin. Epist. L. X. 97. (4) Ἐπιστ. Ἑορταστικ. έ. Περὶ ἑορτῆς πνευματικώτερον ἐκφράζεται ὁ ἱερὸς Χρυσορρήμων· « Ἑορτὴ (λέγει) οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ εὐφροσύνη· εὐφροσύνην δὲ πνευματικὴν καὶ νοερὰν οὐδὲν ἄλ-

§. 26. Πάντες, ὡς εἰπεῖν, οἱ θεῖοι τῆς Ἐκκλησίας Πατέρες καὶ Διδάσκαλοι, ὡς καὶ πᾶς σχεδὸν ὁ τῶν πάλαι καὶ ἔπειτα ἐν ἀσκήσει διαλαμψάντων Ὁσίων μυρίανδρος χορὸς, πρὸς τῇ ἄλλῃ σοφίᾳ, καὶ τῆς Ἐκκλησιαστικῆς Μουσικῆς ἐπιστήμονες ἦσαν, ὡς παιδιόθεν μετὰ τῶν ἄλλων μαθημάτων καὶ ταύτην σπουδάζοντες (1), καθ' ἣν καὶ ᾠδὰς καὶ ὕμνους ἐμελοποίουν. Οὕτως οὖν ὁ Ἀποστολικὸς Ἱερόθεος ὁ Ἀθηνῶν, ἐν τῇ Κοιμήσει τῆς Θεοτόκου « θεῖος ἦν ὑμνολόγος, καὶ ἐνθεαστικωτάτας ὑμνῳδίας » ὑμνολόγει (2)· « Καὶ ψαλμοὺς δὲ τότε ἔλεγον ἐμμελεῖς καὶ ᾠδάς» (3). Τὰ δὲ Ἀντίφωνα καὶ τοὺς δύο χοροὺς ὁ Ἀποστολικὸς Ἰγνάτιος ἔταξεν ἐν τῇ ἐκκλησίᾳ (4)· τούτους δὲ παυθέντας μετὰ τῶν ἱερῶν ὕμνων ὑπὸ Παύλου τοῦ Σαμοσατέως, ἀνενέωσαν πάλιν ἐν Ἀντιοχείᾳ, τῷ 331 ἔτει, ὁ Φλαβιανὸς καὶ Διόδωρος (5). Τὰ δὲ ἐν τοῖς ψαλλομένοις Ἀντιφώνοις « Ταῖς πρεσβείαις τῆς Θεοτόκου », καὶ τὸ, «Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ» ἀρχῆθεν καὶ ταῦτα συντεθειμένα, Ἀκροστίχια καὶ Ἀκροτελεύτια καλούμενα, ὑπέψαλλεν ὁ λαὸς, ὡς ἐν ταῖς τῶν Ἀποστόλων διαταγαῖς (Β'. νζ'.) ἀναγινώσκομεν, « Ἕτερός τις » (εἴ τις) « τοὺς τοῦ Δαβὶδ ψαλλέτω ὕμνους, καὶ ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω. » Ταῦτα τὰ Ἀκροστίχια ἐννοεῖ καὶ ὁ ἱερὸς Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν Ἐκκλησιαστ. Ἱεραρχ. γ'. Καὶ Εὐσέβιος δὲ ἐπιμαρτυρεῖ λέγων, « τοὺς εἰωθότας

λο ποιεῖ, ἀλλ' ἡ συνειδὸς πράξεων ἀγαθῶν· ὁ δὲ συνειδὸς ἔχων ἀγαθὸν,καὶ πράξεις τοιαύτας ἀεὶ ἑορτάζειν δύναται » (Λόγ. ά. εἰς τὴν Πεντηκοστήν.)

(1) Δίδυμος ὁ Ἀλεξανδρεὺς, κομιδῇ νέος τὰ πρῶτα στοιχεῖα τῶν γραμμάτων μαθὼν, ἀπέβαλε τὰς ὄψεις ὑπὸ νόσου· διὰ δὲ τὴν εὐφυΐαν ἐξ ἀκοῆς μόνης ἐδιδάχθη πᾶσαν τὴν ἐγκύκλιον καὶ φιλόσοφον παίδευσιν, γραμματικὴν, ποιητικὴν, ῥητορικὴν, διαλεκτικὴν, γεωμετρίαν, μουσικὴν, ἀστρονομίαν, καὶ μάλιστα τὰς ἱερὰς Γραφάς. Διὸ τῆς ἐν Ἀλεξανδρείᾳ κατηχητικῆς προέστη Σχολῆς· ἤκμαζε κατὰ τὸ 370. Διήκουσαν δὲ τούτου καὶ Ἱερώνυμος καὶ Ῥουφῖνος. Καὶ Παλλάδιος ἐν τῷ Λαυσαϊκῷ μετ'ἐπαίνων μνημονεύει αὐτοῦ, καὶ ἄλλοι οὐκ ὀλίγοι. Συνέγραψε πολλά· σώζονται δ' ὀλίγα, ἐν οἷς καὶ σχόλια εἰς τοὺς ψαλμοὺς καὶ εἰς τὸν Ἰὼβ, καὶ εἰς τὴν Πεντάτευχον ἐν ταῖς σειραῖς ἐκδεδομένα. Ὁ δὲ Σωζόμενος (Ἐκκλησ. ἱστ. γ'. 15.) καὶ αὐτὰ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα τυφλὸν ἐκμαθεῖν τὸν Δίδυμον ἱστορεῖ. « Λέγεται τοὺς χαρακτῆρας τῶν γραμμάτων σανίδι καταχαραχθέντας εἰς βάθος ἐκμαθεῖν τοῖς δακτύλοις ἁπτόμενος· συλλαβὰς δὲ καὶ ὀνόματα καὶ τὰ ἄλλα ἐφεξῆς καταλήψει νοῦ καὶ συνεχεῖ ἀκροάσει κτλ. » Σημείωσαι, ὅπως καὶ παρὰ τοῖς ἀρχαίοις τοιοῦτος ὑπῆρχεν ὁ τρόπος τῆς τῶν τυφλῶν ἐκπαιδεύσεως, οἷος σχεδὸν καὶ ὁ παρὰ τοῖς νεωτέροις ἐξευρεθείς. (2) Διονύσ. Ἀρεοπ. π. θείων ὀνομ. γ'. σελ. 282 (3) Μάξιμ. Σχολ. εἰς Διον. Ἀρεοπ. καὶ Παχυμ. Παραφράσ. αὐτόθι. (4) Σωκρ. ἱστ. ή. (5) Θεοδώρ. Ἐκκλ. ἱστ. β'. 19.

λέγεσθαι πρὸς ἡμῶν (ἐν τῇ Ἐκκλησίᾳ) ὕμνους, ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος, οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι, τῶν ὕμνων τὰ Ἀκροτελεύτια συνεξηχοῦσιν » (1). Ὁ δὲ μάρτυς Ἰουστῖνος, τῷ 120 ἔτει, συνέγραψε τὸ μηκέτι σωζόμενον ψάλτης. Καὶ ὁ ἱερὸς Κλήμης ὁ Ἀλεξανδρείας, τῷ 180, συνέταξεν ἔμμετρα ἔπη καὶ ᾄσματα, καὶ ἔμμετρον ᾠδὴν εἰς Χριστόν. Ὁ ἱερὸς Ἱππόλυτος, τῷ 200, ἐποίησεν ᾠδὰς εἰς πᾶσαν τὴν Γραφήν. Ὁ δὲ Γάϊος, τῷ 210, ἱστορεῖ, ὅτι « ψαλμοὶ καὶ ᾠδαὶ ἀδελφῶν ἀπ' ἀρχῆς ὑπὸ πιστῶν γραφεῖσαι, τὸν Λόγον τοῦ Θεοῦ, τὸν Χριστὸν Ἰησοῦν, ὑμνοῦσι θεολογοῦντες » (2). Ἀλλὰ καὶ ὁ δυσσεβὴς Παῦλος ὁ Σαμοσατεὺς, τῷ 280, παύσας, ὡς προείπομεν, τοὺς ἐν τῇ Ἐκκλησίᾳ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ᾄδομένους ὕμνους, ἔταξε γυναῖκας ψαλμῳδεῖν ᾠδὰς εἰς τὴν ἑαυτοῦ ἀθλιότητα, κατὰ τὴν ἡμέραν τοῦ Πάσχα (3). Καὶ ὁ ἅγιος Μεθόδιος, τῷ 290, ἐπίσκοπος Πατάρων, καὶ ὁ ἱερομάρτυς Λουκιανὸς, τῷ 296, ἐμμελῆ συνέταξαν ᾄσματα. Ἐκ τῶν ἀρχαιοτάτων ὕμνων τῶν ἐξ ἀρχῆς ὑπὸ τῶν πιστῶν συντεθέντων ἐστὶ καὶ τὸ « Φῶς ἱλαρὸν, » καὶ τὸ « Δόξα ἐν ὑψίστοις Θεῷ· » γέγραπται δὲ καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς (Η'. 35.) Ἀπὸ τοῦ Ἀγγελικοῦ τούτου αἴνου ὠνομάσθη Δοξολογία, ὁ ψαλλόμενος, ἢ ἀναγινωσκόμενος οὗτος ὕμνος κατὰ τὸ τέλος τοῦ Ὄρθρου. Περὶ τούτου ὁ θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Κολασσαεῖς ὁμιλίᾳ Γ'. οὑτωσὶ λέγει· « Οὐρανὸς ἡ γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν οὐρανὸς δέχεσθαι· διὰ τοῦτο εὐχαριστοῦντες λέγομεν, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Καὶ ὁμιλίᾳ Θ'. εἰς τὴν αὐτήν· « Τίς ὁ ὕμνος τῶν ἄνω; Τί λέγει τὰ Χερουβίμ; Ἴσασιν οἱ πιστοὶ, τί ἔλεγον οἱ Ἄγγελοι κάτω· Δόξα ἐν ὑψίστοις Θεῷ· διὰ τοῦτο μετὰ τὰς ψαλμῳδίας ὕμνοι, ἅτε τελειότερόν τι πρᾶγμα. » Ἐκ τούτου δείκνυται τρανῶς, ὅτι πάντες οἱ θεῖοι Μελῳδοὶ καὶ Ὑμνογράφοι κατὰ μίμησιν τῶν Ἀγγέλων τῶν ἐν τῇ Γεννήσει τοῦ Ἰησοῦ Χριστοῦ αἰνούντων τὸν Θεὸν καὶ λεγόντων, « Δόξα ἐν ὑψίστοις κτλ. » συνέταξαν τὰ ἱερὰ ᾄσματα. Ὥστε φαί-

(1) Ἐκκλ. ἱστ. β'. 17. Καὶ σημ. Κοτελερ. « Ἀκροστίχια δὲ καὶ Ἀκροτελεύτια, τὸ δ' αὐτὸ καὶ ἑλληνικώτερον Ἐφύμνια, λέγονται τὰ ἄκρα τῶν ἔν τισι ψαλμοῖς στίχων, οἷον τὸ τοῦ ρλέ. ψαλμοῦ, Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ὅπερ ὑπέψαλλε συνυπηχῶν καὶ ὁ λαός » (Βλ. Μ. Ἀθανασ. Τόμ. ά. σελ. 558. Com.). (2) Εὐσέβ. Ἐκκλησ. ἱστ. έ. 28. (3) Συνόδ. Συλλογ. Τόμ. ά. σελ. 124.

νεται σαφῶς, ὅτι ἡ τοῦ Χριστοῦ Ὀρθόδοξος Ἐκκλησία ἔτι ἀπὸ τῶν Ἀποστόλων αὐτῶν (1), πλὴν τῶν τοῦ Δαβὶδ ψαλμῶν καὶ τῶν ἐννέα Ὠδῶν τῆς Γραφῆς, ἔψαλλε καὶ ὕμνους εἴς τε τὴν ἁγίαν Τριάδα, καὶ τὸν Χριστὸν, καὶ ᾠδὰς εἰς τοὺς Μάρτυρας καὶ ἄλλους Ἁγίους, εἰς δόξαν Χριστοῦ· διότι « Πᾶς αἶνος εἰς Θεὸν ἀναφορὰν ἔχει, » κατὰ τὸν Σχολιαστὴν τοῦ 90 ψαλμοῦ, οὗ ἡ ἐπιγραφὴ, Αἶνος ᾠδῶν Δαβὶδ (2). Ἐπειδὴ δὲ ἐπληθύνοντο οἱ Μάρτυρες, ἀναλόγως ἐπληθύνοντο καὶ αἱ ᾠδαὶ καὶ οἱ ὕμνοι, ὅθεν συνετάχθη καὶ ἡ Ἀκολουθία τῆς Ἐκκλησίας, ψαλλόντων τῶν ψαλτῶν ἀπὸ διφθέρας (3) τοὺς ὑπὸ τῆς ἐκκλησίας δεδοκιμασμένους ὕμνους (4). Περὶ δὲ τοῦ « Φῶς ἱλαρὸν, » τοῦ ἐπιλυχνίου τούτου ὕμνου, εἰ καὶ πολλοί τινες ἐνόμισαν, ὅτι ποίημα τοῦ μάρτυρος Ἀθηνογένους (296) λέγει τοῦτον ὁ Μ. Βασίλειος, ἀλλ' ὅμως ὁ πατὴρ διακρίνει τὸν ὕμνον τοῦ Ἀθηνογένους ἀπὸ τῆς ἐπιλυχνίου εὐχαριστίας, ἣν εἰς τοὺς πάλαι Πατέρας ἀπονέμει, ἐν οἷς λέγει, « Καὶ ὅστις μέν ἐστιν ὁ πατὴρ τῆς ἐπιλυχνίου ἐκείνης εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν, ὁ μέν τοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν.—Εἰ δέ τις τὸν ὕμνον τοῦ Ἀθηνογένους ἔγνω, ὃν ὥσπερ τι ἄλλο ἐξιτήριον τοῖς ὑμνοῦσιν αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ πυρὸς τελείωσιν, οἶδε καὶ τὴν τῶν Μαρτύρων γνώμην, ὅπως εἶχον καὶ περὶ τοῦ Πνεύματος » (5). Καὶ φαίνεται ἄρα ὅτι καὶ τὸ Φως ἱλαρὸν, τῶν Ἀποστολικῶν ἀνδρῶν ὑμνῳδία ἐστὶν, ὅπερ βεβαιοῖ καὶ Νικηφόρος ὁ Κάλλιστος λέγων, « ἀπὸ τῶν Ἀποστόλων καὶ εἰς ἡμᾶς τοῦτο κατελθεῖν » (6). Καὶ ὁ θειότατος Τρισάγιος Ὕμνος ἀρχαιότατός ἐστι· σύγκειται δὲ

---

(1) « Ἀποστολικὴ παράδοσις (λέγει ὁ ἱερὸς Μάξιμος) τοὺς νυκτερινοὺς τῶν ψαλμῳδιῶν κανόνας παρέδωκε » (Σχόλ. εἰς Διονύσ. Ἀρεοπ. Τόμ. β'. σελ. 129.) (2) Σειρ. εἰς τοὺς ψαλμ. Τόμ. β'. σελ. 871. Corder. (3) Ὁ Κανὼν τῆς ἐν Δαυδικείᾳ (362 ἔτει) Συνόδου διατάσσει οὐδένας ἄλλους ψάλλειν ἐν τῇ Ἐκκλησίᾳ πλὴν τῶν ὡρισμένων ψαλτῶν, καὶ ἀπὸ διφθέρας, ἤτοι ἀπὸ βιβλίου. « Περὶ τοῦ μὴ δεῖν πλέον τῶν κανονικῶν ψαλτῶν, τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν Ἐκκλησίᾳ » (Καν. ιέ.) (4) Ἡ ἑορτὴ τῶν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ἀθλησάντων, ἡμέρα ἡ γενέθλια τῶν Μαρτύρων καλουμένη, καὶ διορισθεῖσα οὐχ ἵνα ἐκεῖνοι τὸν ἔπαινον παρ' ἡμῶν λάβωσιν, ἀλλ' ἵνα ἡμεῖς διὰ τῶν ἐπαίνων διανιστῶμεν πρὸς μίμησιν, ὡς ὁ θεῖος διδάσκει Χρυσόστομος (παρὰ Φωτ. ἐν Μυριοβίβλῳ 274), ἐτελεῖτο κατὰ τοὺς ἀρχαιοτάτους χρόνους ἐν τοῖς κοιμητηρίοις, ἢ ἐν ταῖς κρύπταις, μετὰ ψαλμῳδίας καὶ ἀναγνώσεως ἐκ τῆς ἁγίας Γραφῆς καὶ προσευχῶν εἰς τοὺς Μάρτυρας, ἵνα ὡς πᾶσαν πρὸς τὸν Θεὸν παῤῥησίαν ἔχοντες πρεσβεύωσιν ὑπὲρ τῶν ἀνθρώπων. (5) Π. τοῦ ἁγ. Πνεύμ. §. κθ'. (6) Ἐκκλησ. ἱστ. ιή. 54.

λή.

ἔκ τε τοῦ θεοπνεύστου ῥητοῦ, « ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν Ἰσχυρὸν, τὸν Ζῶντα » (1), καὶ ἐκ τοῦ τρισσοῦ τῆς τῶν Σεραφὶμ δοξολογίας Ἅγιος (Ἡσ. Ϛ'. 3)· Ἅγιος ὁ Θεὸς (ὁ Πατὴρ). Ἅγιος Ἰσχυρὸς (ὁ Υἱός). Ἅγιος Ἀθάνατος (τὸ Πνεῦμα, τὸ ζῶν καὶ ζωῆς χορηγόν) » (2). Τοῦτο μαρτυρεῖ καὶ Θεόδωρος ὁ Ἡρακλείας (τῷ 335), λέγων· « Ἐκ τούτου (τοῦ Ψαλμοῦ) καὶ ὁ ἔνθεος ὕμνος εἴληπται, τὸ Ἅγιος ὁ Θεός » (3). Καὶ Καισάριος δὲ (τῷ 360), ὁ τοῦ Θεολόγου Γρηγορίου ὁμαίμων μνημονεύει τοῦ τρισαγίου (4). Καὶ διὰ θαύματος ἐβεβαιώθη ἐν Κωνσταντινουπόλει ὁ τρισάγιος ὕμνος, ἐπὶ Θεοδοσίου τοῦ νέου καὶ Πρόκλου Πατριάρχου (τῷ 436), ὅτε, διὰ τοὺς βλασφημοῦντας εἰς τὸ Τρισάγιον (5), παιδίον εἰς ὕψος ἀρθὲν, ἐμυήθη καὶ ὑπ' Ἀγγελικῆς διδασκαλίας τὸν ὕμνον (6). Διὸ καὶ Ἀκάκιος ὁ Κωνσταντινουπόλεως, καὶ Φῆλιξ ὁ Ῥώμης (τῷ 480) « Ἀγγέλων ὑμνῳδίαν, καὶ χερουβικὸν τοῦτον ὕμνον, καὶ τρισάγιον Θεολογίαν», ἀποκαλοῦσιν ἐν ταῖς πρὸς τὸν Κναφέα ἐπιστολαῖς αὐτῶν (7). Καὶ ἡ ΣΤ'. ἁγία Οἰκουμενικὴ Σύνοδος (Καν. πά.), μετὰ τῶν πάλαι καὶ πρὸ αὐτῆς ἁγίων Πατέρων, ἀναθεματίζει τοὺς ἐν τῷ Τρισαγίῳ μετὰ τὸ Ἀθάνατος, προστιθέντας τὸ « ὁ σταυρωθεὶς δι' ἡμᾶς», οἷον Πέτρον τὸν δυσσεβῆ Κναφέα,καὶ Ἀναστάσιον τὸν Αὐτοκράτορα,τὸν ὁμόφρονα αὐτῷ (8). Τοῦτον δὲ τὸν Τρισάγιον ὕμνον Θεοδόσιος ὁ Αὐτοκράτωρ οὕτω ψάλλεσθαι διέταξε κατὰ πάσας τὰς Ἐκκλησίας τῆς Οἰκουμένης. Καὶ πᾶσαι γοῦν (πλήν τινων) αἱ λοιπαὶ χριστιανικαὶ Ἐκκλησίαι τὸν Ἀγγελικὸν τοῦτον ὕμνον καὶ νῦν ἀναμέλπουσιν· ἀλλὰ καὶ ἡ Δυτικὴ Ἐκκλησία ἅπαξ τοῦ ἐνιαυτοῦ, τῇ Μ. Παρασκευῇ, Ἑλληνιστὶ τοῦτον ἐκφωνεῖ· τὸν δὲ λοιπὸν χρόνον καθ' ἑκάστην ὑμνολογεῖ αὐτὸν κατὰ τὴν ἀρχαιοτάτην λατινικὴν μετάφρασιν. Ἀρχαῖον ὡσαύτως ἐστὶ καὶ τὸ Δόξα Πατρί· καὶ τὸ, Δεῦτε προσκυνήσωμεν, κτλ.

§. 27. Ἀλλὰ καὶ κατὰ τὴν Δυτικὴν Ἐκκλησίαν ὑπῆρχον ἔκπαλαι

---

(1) Ψαλμ. μά. 2. (2) Βλ. Δαμασκ. Ὀρθ. πίστ. πρβλ. καὶ Λέοντος τοῦ Σοφοῦ Δοξαστ. τῶν Ἑσπεριν. τῆς Πεντηκοστ. (3) Σειρ. εἰς τοὺς ψαλμ. Τόμ. ά. σελ. 777. (4) Διαλόγ. ά. Ἐρωτήσ. κθ'. (5) Κωδην. Π. Κωνστ. (6) Δαμασκ. Π. Ὀρθ. Πίς. Βιβλ. Γ'. κεφ. ι'. (7) Βλ. Συνόδ. Συλλογ. τόμ. β'. σελ. 245, 250. (8) Εὐάγρ. Ἐκκλ. ἱς. γ'. 44. Περὶ τοῦ Τρισαγίου Βλ. καὶ Θεοφάν. χρον. 115. Θεόδωρ. Ἀναγνώς. Βιβλ. ά. Νικηφ. Ἐκκλ. ἱς. ιδ'. 46: πρβλ. καὶ Φωτ. Ἀναγν. 288. καὶ Δοσιθ. Δωδεκάβ. σελ. 312.

μελωδοί, οἵτινες, πλὴν τῶν ἐξ ἀρχαίων χρόνων ἐν χρήσει ψαλμῶν καὶ τῶν ἐκ στίχων τῆς ἁγίας Γραφῆς συντεθειμένων συντόμων δοξολογιῶν καὶ ὕμνων, εἰσήγαγον εἰς αὐτὴν καὶ ᾄσματα συντεταγμένα ὑπ' αὐτῶν. Τοιοῦτοι ἦσαν Λακτάντιος τῷ 303 ἔτει, Ἱλάριος ὁ Πικτώνων Ἐπίσκοπος τῷ 355, Ἀμβρόσιος ὁ ἱερὸς Μεδιολάνων Ἐπίσκοπος τῷ 374 (1), Οὐϊκτωρῖνος τῷ 396, καὶ εἴτις ἄλλος τῶν ἀρχαίων. Καὶ αὐτοὶ δὲ οἱ αἱρετικοὶ συντάττοντες ᾠδάς θρησκευτικὰς, ἐπειρῶντο, ἵνα διὰ τῆς τοῦ μέλους ἡδονῆς θέλγοντες τοὺς ἀμαθεστέρους ἑλκύωσιν εἰς τὰ ἑαυτῶν διδάγματα, ἀλλ' οἱ ὀρθόδοξοι ἅγιοι Πατέρες πρὸς τὰς ᾠδὰς ταύτας ἀντέταττον ἄλλας, ψαλλομένας ὑπὸ τῶν εὐσεβῶν. Οὕτω, Βαρδησάνης τις, ὀπαδὸς τῆς Οὐαλεντιανιανῆς αἱρέσεως, ἐξ Ἐδέσσης τῆς Μεσοποταμίας (2), εἰδήμων τῆς τε Ἑλληνικῆς καὶ τῆς τῶν Σύρων γλώσσης (3), ἐπὶ Μάρκου Αὐρηλίου ἀκμάσας, κατὰ τὸν Εὐσέβιον (4), εἶχεν υἱὸν Ἀμμόνιον καλούμενον, ἐν Ἀθήναις σπουδάσαντα τὰ ἑλληνικὰ μαθήματα καὶ πολλὰ βιβλία γράψαντα (5)· πρῶτος οὗτος ὁ Ἀμμόνιος, ὥς φησιν ὁ Ἐκκλησιαστικὸς ἱστοριογράφος Σωζόμενος (6), ὃς καὶ Ἁρμόνιον ὀνομάζει αὐτὸν, προσαρμόσας τὰς ἑαυτοῦ δόξας πρὸς τὴν λύραν, συνέμιξεν αὐτὰς εἰς τὰ ἴδια συγγράμματα, εἰσαγαγὼν δὲ εἰς τὴν πάτριον τῶν Σύρων γλῶσσαν μέτρα καὶ νόμους τῆς Μουσικῆς, παρέδωκεν αὐτὴν εἰς χοροὺς ἵνα ψάλλωσιν, ὡς πολλάκις οἱ Σύροι ἔψαλλον, χρώμενοι οὐ τοῖς συγγράμμασιν Ἁρμονίου, ἀλλὰ ταῖς μελῳδίαις αὐτοῦ· ἀλλ' ὁ ἁγιώτατος Ἐφραὶμ ὁ Σύρος, ὁρῶν τοὺς ἑαυτοῦ συμπολίτας, θελγομένους ὑπὸ τοῦ ῥυθμοῦ τῆς μελῳδίας ταύτης καὶ κατὰ μικρὸν ἐθιζομένους ταῖς ἐκείνου δοξασίαις, συνέταξε καὶ αὐτὸς ἄλλους ὕμνους συμφώνους τῇ διδασκαλίᾳ τῆς Ὀρθοδόξου Ἐκκλησίας, οὓς μόνους ἔψαλλον οἱ Σύριοι, ἀπομαθόντες τὰ μέλη τοῦ Ἁρμονίου. Ἐκτὸς τοῦ προῤῥηθέντος αἱρετικοῦ Παύλου τοῦ Σαμοσατέως, καὶ Ἄρειος τῷ 315, συνέταξεν ᾄσματια, Ναυτικά τε καὶ Ἐπιμύλια καὶ Ὁδοιπορικὰ κτλ (7). Καὶ Ἀπολλινάριος, καὶ πρὸ αὐτοῦ Οὐαλεντῖνος (2),

(1) Ἴδ. τὴν 85 Ἐπιστολὴν αὐτοῦ. (2) «Ἐκ Μεσοποταμίας μὲν τὸ γένος ἦν τῶν κατὰ τὴν Ἐδεσσηνῶν πόλιν κατοικούντων.» Ἐπιφάν. ἐν Αἱρέσ. νς'. ά. (3) «Βαρδησάνης ἱκανώτατός τις ἀνὴρ, ἔν τε τῇ Σύρων φωνῇ διαλεκτικώτατος». Εὐσέβ. Ἐκκλ. Ἱστ. Δ'. λ'. (4) Αὐτόθ. (5) Θεοδώρητ. Αἱρετικ. κακομωθ. Α'. κδ'. (6) Ἐκκλ. ἱς. Γ'. ις'. (7) Φιλοστόργ. ἱστ. Β'. 6'.— Μ. Ἀθανάσ. Τόμ. ά. σελ. 407—312. (1) Tertul. de Carne Christ. C. 17.

καὶ Ἱέραξ τις (1) καὶ οἱ Δονατισταὶ (2). Ὁ δὲ ἱερὸς Χρυσόστομος, πρὸς τὰς τῶν Ἀρειανῶν ᾠδὰς, ἄλλας ἀντέταττεν ἵνα ψάλλωνται ὑπὸ τῶν Ὀρθοδόξων.

§. 28. Ἡ ἐκκλησιαστικὴ ψαλμῳδία (3), περὶ τὰς ἀρχὰς τῆς Δ'. ἑκατονταετηρίδος καὶ ἐφεξῆς, κανονικωτέραν ἔλαβε μόρφωσιν, τουτέστι, πλὴν τῶν Ἀναγνωστῶν, κατεστάθησαν καὶ Ψάλται, λαμβανόμενοι καὶ οὗτοι, ὡς οἱ Ἀναγνῶστται, ἐκ τῶν νεωτέρων Κληρικῶν, οἵτινες ποτὲ μὲν ἐψαλλον μόνοι, ποτὲ δὲ ἀμειβόμενοι ὑπὸ τοῦ χοροῦ τῆς κοινότητος (4). Τοῦτο δηλοῦται καὶ ἀπὸ τῆς ἑξῆς ῥήσεως τοῦ Οὐρανοφάντορος· «Ἀναστάντες τῶν προσευχῶν (οἱ Χριστιανοὶ) εἰς ψαλμῳδίαν καθίστανται· καὶ νῦν μὲν διχῇ διανεμηθέντες» (εἰς τοὺς καθ' ἡμᾶς δύο Ἐκκλησιαστικοὺς χορούς) «ἀντιψάλλουσιν ἀλλήλοις.—Ἔπειτα πάλιν ἐπιτρέψαντες ἑνὶ ἄρχειν τοῦ μέλους» (ὡς ψάλλομεν τὸν χερουβικὸν ὕμνον), «οἱ λοιποὶ ὑπηχοῦσι κτλ.» (5). Ἐκ τῆς ῥήσεως ταύτης δείκνυται προσέτι, ὅτι καὶ τότε ὑπήχουν ἐν ταῖς ψαλμῳδίαις, ὅ ἐστιν, ὑπῆρχον ὡς τὴν σήμερον οἱ λεγόμενοι ἰσοκράται, καὶ μάλιστα παῖδες, ὡς ὁ αὐτὸς ἀλλαχοῦ λέγει· «Ὀλίγοι λοιπὸν μετ' ἐμοῦ καὶ τῆς προσευχῆς, καὶ οὗτοι ἰλιγγιῶντες, χασμώμενοι, μεταστρεφόμενοι συνεχῶς, καὶ ἐπιτηροῦντες, πότε τοὺς στίχους ὁ ψαλμῳδὸς συμπληρώσει, πότε ὡς δεσμωτηρίου τῆς Ἐκκλησίας καὶ τῆς ἀνάγκης τῆς προσευχῆς ἀφαιρεθήσονται. Οἱ δὲ δὴ παῖδες οἱ σμικρότατοι οὗτοι, οἱ τὰς δέλτους ἐν τοῖς διδασκαλείοις ἀποθέμενοι καὶ συμβοῶντες ἡμῖν, ὡς ἄνεσιν καὶ τέρψιν τὸ πρᾶγμα μετέρχονται κτλ.» (6). Καὶ ὁ θεῖος δὲ Χρυσόστομός φησι. «Καὶ ὁ ψάλλων ψάλλει μόνος· κἂν πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στόματος ἡ φωνὴ φέρεται» (7). Ὥστε καὶ εἰς τὰς ἀνωτέρω ῥήσεις τοῦ Μ. Βασιλείου καὶ εἰς ταύτην τὴν τοῦ Χρυ-

---

(1) Ἐπιφαν. Αἱρέσ. ξζ'. (2) Αὐγουστ. Ἐπιστ. 119. (3) Ἰδ. Ἐκκλ. ἱς. Κ. Κοντογ. Τόμ. Α'. σελ. 476. (4) Ὅτε ὁ Ἱερὸς Αὐγουστῖνος προσελθὼν εἰς τὴν χριστιανικὴν πίστιν ἐν Μεδιολάνοις, κατὰ τὴν ἡμέραν τοῦ Πάσχα, τῷ 387, ἐν ἡλικίᾳ 32 ἐτῶν, διενοεῖτο, ἵν' ἀπέλθῃ εἰς Ἀφρικὴν, εἶχε τότε συνοδοιπόρον, μετὰ τῶν ἄλλων φίλων αὐτοῦ, καὶ τὸν ἐκ Ταγάστης Εὐόδιον, ἄνδρα εὐσεβῆ καὶ πρώην ἐπιστάτην τοῦ Αὐτοκράτορος. Μελλόντων οὖν ἐπιβιβασθῆναι πάντων ἐπὶ τοῦ αὐτοῦ πλοίου ἐν Ὠστίᾳ κατὰ τὰς ἐκβολὰς τοῦ Τιβέρεως, ἡ μήτηρ αὐτοῦ Μονίκα, ἀσθενὴς οὖσα, ἐτελεύτησε. Τότε δὴ καὶ ὁ Εὐόδιος λαὸν ψαλτήριον, ἤρξατο ψάλλειν παρὰ τῇ νεκρᾷ τὸ «Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε», καὶ πάντες συνέψαλλον αὐτῷ ἀμοιβαδόν. Ἰδ. Εὐαγγ. Κήρ. ἔτ. Α'. σελ. 506 – 511. (5) Ἐπιστολ. ξγ'. (6) Ὁμιλ. ἐν λιμῷ καὶ αὐχμῷ. (7) Εἰς Α'. Κορινθ. ὁμιλ. λς'.

σορρήμονος βλέπομεν τρανῶς, ὅπερ καὶ παρ' ἡμῖν τὴν σήμερον γίνεται, ὅτι ὑπῆρχεν ἐξ ἀρχῆς ἐν ταῖς ἱεραῖς Ἀκολουθίαις μονωδικὸν τὸ εἶδος τῆς ψαλμῳδίας, νῦν μὲν ἑνὸς, νῦν δὲ καὶ πολλῶν ὁμοῦ συμψαλλόντων ὁμοφθόγγως καὶ ὁμοτόνως, τῆς αὐτῆς φωνῆς ἐξηχούσης ὡς ἐξ ἑνὸς στόματος. Τοῦτο ἐπιμαρτυρεῖ καὶ, μετὰ Ἰωάννην τὸν Χρυσόστομον, μεταγενέστερος ἄλλος ὁμώνυμος, Ἰωάννης ὁ **Καμενιάτης** τῷ **904** ἔτει, Θεσσαλονικεὺς, κληρικὸς ἑλλόγιμος, ὅστις διαγράφων τὴν πρὸ τῆς ἁλώσεως τῆς πατρίδος αὐτοῦ εὐημερίαν αὐτῆς, λέγει καὶ ὅτι ἐν αὐτῇ «παῖδες περὶ λόγους ἐσπούδαζον, ἐξ ὧν ἐπιστήμη καὶ τέχνη τὸ κράτος ἔχουσι,» προστιθεὶς «καὶ τῶν τῷ Θεῷ κεκληρωμένων τὰ σπουδάσματα, καὶ τὰ περὶ τῆς ἁρμονίου (ἴσ. γρ. ἐναρμονίου) μουσικῆς τῶν Ἐκκλησιαστικῶν ᾀσμάτων, καὶ τῶν ᾀδόντων τὰ ψυχοτερπῆ μέλη, καὶ τὴν μοῦσαν ἐκείνην, τὴν ἐκ παντὸς στόματος ὑφ' ἓν τῷ Θεῷ ἀναπεμπομένην τοὺς ὕμνους» (1).

§. 29. Καὶ οἱ ἀρχαιότατοι Πατέρες τῆς Ἐκκλησίας καὶ οἱ μετ' αὐτοὺς, οὐχ ἵνα τὴν ἀκοὴν κατακηλαίνωσι, συνέταξαν μετὰ μέλους τοὺς ὕμνους, τοὺς Κανόνας καὶ τὰ Τροπάρια, περιέχοντα ἐν περιλήψει τὴν τῆς ἑορτῆς ὑπόθεσιν, ἀλλ' ἐπ' ὠφελείᾳ μᾶλλον πνευματικῇ τοῦ χριστωνύμου λαοῦ τοῦ Κυρίου· «Ἵνα, κατὰ τὸν Μ. Βασίλειον, τῷ προσηνεῖ καὶ λείῳ τῆς ἀκοῆς τὸ ἐκ τῶν λόγων ὠφέλιμον λανθανόντως ὑποδεξώμεθα, κατὰ τοὺς σοφοὺς τῶν ἰατρῶν, οἳ τῶν φαρμάκων τὰ αὐστηρότερα πίνειν διδόντες τοῖς κακοσίτοις, μέλιτι πολλάκις τὴν κύλικα περιχρίουσι· διὰ τοῦτο τὰ ἐναρμόνια ταῦτα μέλη ἐπινενόηται, ἵνα οἱ νεκροὶ τὸ ἦθος τῷ μὲν δοκεῖν μελῳδῶσι, τῇ δὲ ἀληθείᾳ τὰς ψυχὰς ἐκπαιδεύωνται» (2). Ὅτι δὲ, πλὴν τῶν τοῦ Δαβὶδ ψαλμῶν καὶ τῶν ἐννέα ᾠδῶν καὶ τῶν ὕμνων, οὓς ἔψαλλεν ἡ Ἐκκλησία ἔτι ἀπὸ τῶν Ἀποστόλων αὐτῶν, ὡς προεῖρηται (§. 26.), ὑπῆρχον ἐν αὐτῇ, καὶ πρὸ τῶν ἱερωτάτων Κοσμᾶ καὶ Ἰ. τοῦ Δαμασκηνοῦ, Τροπάρια καὶ Κανόνες συντεταγμένοι, βεβαιοῖ τοῦτο ὁ **360** καὶ ἐπέκεινα ἔτη προγενέστερος αὐτῶν ἱερὸς Ἀμφιλόχιος (τῷ **370**) μεμνημένος «Τροπαρίων καὶ Κανόνων εὐήχων μελισμοῦ» (3). Ἐπειδὴ δὲ καὶ ἡμεῖς ἐνταῦθα Τροπαρίων καὶ Κανόνων καὶ Ὠδῶν καὶ Ὕμνων ἐμνήσθημεν, φέρε δὴ εἴπωμεν περὶ πάντων τῶν συνήθων ἐν ταῖς

(1) §. ς'. Ἰδ. τὸ βιβλ. παρ' Ἀλλατ. ἐν τοῖς Συμμίκτοις σελ. **180—316.**
(2) Ἑρμην. εἰς τὸν ἁ. ψαλμόν. (3) περὶ τοῦ μὴ ἀπελπίζ.

Ἱεραῖς Ἀκολουθίαις ὀνομασιῶν, Ὠδῆς, Κανόνος, Εἱρμοῦ, Τροπαρίων, Καταβασιῶν, Ἀπολυτικίου, Καθίσματος, Ὑπακοῆς, Ἀναβαθμῶν, Κοντακίου καὶ Οἴκου.

§. 30. Ὠδὴ (ἐκ τοῦ ἀείδω=ᾄδω, ἀοιδὴ=ᾠδὴ), κατὰ τὸν Μ. Βασίλειον, «φωνή ἐστι μουσικὴ καὶ ἐναρμόνιος, διὰ μόνου προφερομένη τοῦ στόματος, χωρὶς συνηχήσεως ὀργάνου». Τὸ αὐτὸ λέγει καὶ ὁ ἀδελφὸς αὐτοῦ θεῖος Νύσσης Γρηγόριος ἐν τῇ Ἑρμηνείᾳ τῆς ἐπιγραφῆς τοῦ Δ'. ψαλμοῦ. Παρ' Ἑβραίοις οἱ πρὸς Θεὸν ὕμνοι ἐψάλλοντο καὶ δι' ὀργάνου, ὡς εἴδομεν· ἐπειδὴ δὲ ὁ Θεὸς ἀπέβαλε τὰ ὄργανα αὐτῶν, ὡς λέγει διὰ τοῦ Προφήτου Ἀμὼς, «Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι», ἀπηγόρευται διὰ τοῦτο παρ' ἡμῖν τοῖς ὀρθοδόξοις Χριστιανοῖς ἡ τῶν ὀργάνων χρῆσις ἐν ταῖς Ἱεραῖς Ἀκολουθίαις, καὶ μόνον διὰ τῆς φωνῆς ἀναφέρομεν τοὺς ὕμνους ἡμῶν πρὸς τὸν Κύριον. Ἐννέα (1) δέ εἰσιν ἅπασαι αἱ ἐν τῇ Ἐκκλησίᾳ Ὠδαὶ, θεσπισθεῖσαι ὑπὸ τῶν θείων Πατέρων πρὸς ὕμνον καὶ τιμὴν τῆς Ὑπεραγίας Τριάδος, ὡς τοῦ ἀριθμοῦ 9 περιέχοντος τρὶς τὸν 3. Καὶ ὡς ἐν τῇ Οὐρανίῳ Ἱεραρχίᾳ ἐννέα εἰσὶν Ἀγγέλων Τάγματα, ὑμνοῦντα ἕκαστον τὸν Θεὸν, οὕτω κἂν τῇ κάτω Ἱεραρχίᾳ τοσαῦτά εἰσιν, ἵνα καὶ τούτων ἕκαστον ὑμνολογῇ τὸν Κύριον, κατὰ τὸν Προφητάνακτα, «Ἐν τῷ Ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν» (2). Καὶ ἡ μὲν Α'. καὶ Β'. τῶν Ὠδῶν συνετάχθη παρὰ τοῦ Προφήτου Μωϋσέως· ἡ δὲ Γ'. ποίημά ἐστι τῆς Προφήτιδος Ἄννης, μητρὸς τοῦ Προφήτου Σαμουήλ· ἡ Δ'. Ἀββακοὺμ τοῦ Προφήτου· ἡ Ε'. τοῦ Προφήτου Ἡσαΐου· ἡ Ϛ'. Ἰωνᾶ τοῦ Προφήτου· ἡ δὲ Ζ'. καὶ Η'. ποίημα τῶν ἐν τῇ καμίνῳ βληθέντων καὶ ἀβλαβῶν διαμεινάντων τριῶν ἁγίων Παίδων, Ἀνανία, Ἀζαρία καὶ Μισαήλ. Ταύτην τὴν Ὠδὴν ἡ τοῦ Χριστοῦ Ὀρθόδοξος Ἐκκλησία, ὡς θεῖον ὕμνον καὶ δοξολογίαν ἅμα καὶ εὐχαριστίαν πρὸς τὸν Θεὸν ἀνέκαθεν διακρατεῖ, καὶ ἐν τῇ μεγάλῃ τοῦ μεγάλου Σαββάτου ἡμέρᾳ θεοπρεπῶς ὅλην μελῳδεῖ. Καὶ κατὰ πᾶσαν δὲ ἡμέραν τοῦ ἔτους ἐν πᾶσι τοῖς Εἱρμοῖς τῆς Ζ'. Ὠδῆς τῶν Κανόνων ἁπάντων, «τὸν διαιωνίζοντα τοῦτον ὕμνον» ὑπόθεσιν ποιεῖται. Καὶ πάντες δὲ οἱ Ἱεροὶ τῆς Ἐκκλησίας Πατέρες,

---

(1) Περὶ τῶν ἐννέα Ὠδῶν βλ. τὰ ὑπὸ τοῦ ἀοιδίμου Νικοδήμου τοῦ Ἁγιορείτου προλεγόμενα ἐν τῷ Ἑορτοδρομίῳ αὐτοῦ, ἔνθα διεξοδικώτερον ἑρμηνεύονται αὗται. (2) Ψαλμ. κή. 8.

ὅσοι τῆς ᾠδῆς ἐμνημόνευσαν, καὶ ταύτην, ὡς καὶ τὰς ἄλλας, θεόπνευστον λέγουσι. Περὶ ταύτης ὁ πάγχρυσος τά τε χείλη καὶ τὴν ψυχὴν διδάσκαλος τῆς εὐσεβείας οὕτωσὶν ὑψηλῶς ἐκφράζεται λέγων, «Οἱ τρεῖς (παῖδες ἐν τῇ καμίνῳ) νίκην ἤραντο, τὴν θαυμαστὴν ἐκείνην καὶ παράδοξον ἅδοντες ᾠδὴν, τὴν καὶ μέχρι τοῦ νῦν ἐξ ἐκείνου πανταχοῦ τῆς οἰκουμένης ᾀδομένην, καὶ ᾀσθησομένην δὲ καὶ εἰς τὰς μετὰ ταῦτα γενεάς» (1). Καὶ ὁ ἱερὸς δὲ Θεοδώρητος λέγει· «Τὸν θεῖον τοῦτον ὕμνον, ὃν οἱ μακάριοι τρεῖς Παῖδες ἐν τῇ καμίνῳ ὑφαίνοντες, συνεκάλουν καὶ τοὺς Ἀγγέλους καὶ πάσας τὰς δυνάμεις Κυρίου· πᾶσα γὰρ ἡ θεόπνευστος Γραφὴ τῆς δε τῆς διδασκαλίας ἀνάπλεως» (2). Τοῦτον τὸν ὕμνον καὶ ἡ Δυτικὴ Ἐκκλησία ψάλλει κατὰ καιροὺς ὡρισμένους. Ἡ δὲ Θ'. Ὠδὴ, ὕμνος οὖσα πρὸς Θεὸν καὶ εὐχαριστία, ἐκ δύο σύγκειται μερῶν, τοῦ μὲν ὑπὸ τῆς Ἀειπαρθένου Μαρίας ποιηθέντος, ὅτε ἀπελθοῦσα εἰς τὴν Ὀρεινὴν ἠσπάσατο τὴν ἐξαδέλφην αὐτῆς Ἐλισάβετ, καὶ ἐμεγάλυνε τὸν Κύριον, ὅτι ἐπιβλέψας ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, ἐποίησεν αὐτῇ μεγαλεῖα ὁ δυνατὸς, προφητεύσασα ὅτι ἀπὸ τοῦ νῦν μακαριοῦσιν αὐτὴν πᾶσαι αἱ γενεαί· τοῦ δὲ ἑτέρου, ὑπὸ τοῦ Προφήτου Ζαχαρίου, ὅστις, λυθείσης τῆς γλώσσης αὐτοῦ μετὰ τὴν γέννησιν τοῦ υἱοῦ Ἰωάννου, προφητεύει περὶ μὲν τοῦ Ἰησοῦ Χριστοῦ, ὅτι λύτρωσις αὐτός ἐστι καὶ κέρας σωτηρίας τοῦ λαοῦ αὐτοῦ, περὶ δὲ τοῦ υἱοῦ Ἰωάννου, ὅτι Πρόδρομος ἔσεται τῆς παρουσίας τοῦ Χριστοῦ καὶ ἑτοιμάσει τὰς ὁδοὺς αὐτοῦ, κηρύττων μετάνοιαν.

Κανὼν δέ ἐστιν ἡ στάθμη, ᾗ χρῶνται οἱ ἐργαζόμενοι λίθους ἢ ξύλα καὶ ἄλλα, ἵνα κατασκευάσωσιν αὐτὰ εὐθέα καὶ ἴσα κατὰ τὸ ὡρισμένον μέτρον· μεταφορικῶς οὖν Κανόνες ὠνομάσθησαν καὶ τὰ πρὸς δοξολογίαν Θεοῦ συντεθειμένα ᾄσματα· ἕκαστος γὰρ Κανὼν ὡρισμένον ἔχει μέτρον, ὡς περιέχων ἐννέα Ὠδὰς, ἐξαιρουμένης τῆς Β'. Ὠδῆς, ἥτις μόνον ἐν τῇ Τριῳδίῳ ὑπάρχει (3). Λέγει δὲ καὶ ὁ Βαλσαμὼν, «Κανὼν λέγεται, ὅτι ὡρισμένον καὶ τετυπωμένον ἔχει τὸ μέτρον ἐννέα ᾠδαῖς συντελούμενον» (4).

Ὁ δὲ Εἱρμὸς τῶν τροπαρίων ἑκάστης Ὠδῆς προτασσόμενος, ἀρχὴ τούτων ἐστὶ, προβαίνων ἐν ἁρμονίᾳ συντεθειμένῃ μετὰ φωνῆς ἐμμελοῦς καὶ ὡρισμένῳ μέτρῳ καὶ ποσότητι λέξεων, καὶ

(1) Χρυσ. Τόμ. γ'. σελ. 462. Venet. (2) Εἰς τὰ Ἄπορ. Γενέσ. Ἐρωτ. β' (3) Βλέπε τὴν αἰτίαν ἐν Ἑορτοδρομ. σελ. κ'. (4) Ἰδ. Δουκαγγ. Λεξικ. σελ. 582.

διδοὺς ἀκολούθησίν τινα καὶ τάξιν μέλους τοῖς μετ'αὐτὸν τροπαρίοις, διότι κατὰ τὸ αὐτὸ μέλος τοῦ Εἱρμοῦ ψάλλονται καὶ ταῦτα. Γίνεται δὲ ἡ λέξις ἐκ τοῦ εἴρω (ψιλουμένου)=συμπλέκω, ὡς κατὰ τάξιν τινὰ καὶ μελουργίαν συμπλεκόμενος· ἢ, Εἱρμὸς δηλοῖ ἀκολούθησιν, ὡς λέγομεν, «καθ' Εἱρμὸν ὁ λόγος προβαίνει».

Τροπάρια δὲ λέγονται τὰ μετὰ τὸν Εἱρμὸν ἀκολουθοῦντα. Κατὰ τὸν Ζωναρᾶν, «Τροπάρια λέγονται ὡς πρὸς τοὺς Εἱρμοὺς τρεπόμενα, καὶ τὴν ἀναφορὰν τοῦ μέλους πρὸς ἐκείνους ποιούμενα, ἢ καὶ ὡς τρέποντα τὴν φωνὴν τῶν ᾀδόντων κτλ.» (1)· διότι κατὰ τὴν τοῦ εἱρμοῦ ποσότητα τῶν λέξεων καὶ τῶν τόνων καὶ τῆς ἁρμονίας τοῦ μέλους, οὕτω καὶ αὐτὰ τρέπονται καὶ ἀκολουθοῦσι πρὸς ἐκεῖνον ἀναφερόμενα. Ἡ λέξις Τροπάριον ἐλήφθη μᾶλλον ἐκ τῶν εἰς τὰ ἀρχαῖα Ἑλληνικὰ δράματα Στροφῶν καὶ Ἀντιστροφῶν τῶν χορῶν· ὡς γὰρ ἐκεῖνοι ἔλεγον Στροφὴν ἐκ τοῦ Στρέφω, οὕτω κατ' ἀναλογίαν καὶ οἱ ἡμέτεροι ἐκ τοῦ συνωνύμου Τρέπω, ὠνόμασαν Τροπάρια, οἱονεὶ Στροφάρια, τὰ ἐκκλησιαστικὰ ταῦτα ᾄσματα, ὡς πρὸς τὸ μέλος τοῦ Εἱρμοῦ στρεφόμενα καὶ κατ' ἐκεῖνο ᾀδόμενα. Καὶ αὐτὸ δὲ τὸ ὄνομα Χορὸς, ἤτοι τὸ σύστημα τῶν ψαλλόντων, ἐκ τῶν Χορῶν τῶν παλαιῶν δραμάτων ἐλήφθη.

Καταβασίαι ὠνομάσθησαν αὐτοὶ οὗτοι οἱ Εἱρμοὶ, ὅτι μετὰ τὸ τέλος ἑκάστης Ὠδῆς ψαλείσης, οἱ τῶν δύο χορῶν ψάλται καταβαίνοντες ἀφ' οὗ ἵσταντο τόπου, καὶ ἐν τῷ μέσῳ τοῦ Ναοῦ ἐρχόμενοι, ἔψαλλον συμφώνως ἀμφότεροι τοὺς Εἱρμούς. Τὸ ἀρχαῖον τοῦτο ἔθος πρὸ πολλοῦ ἤδη πέπαυται· ἅπαξ δὲ μόνον τοῦ ἐνιαυτοῦ, κατὰ τὴν ἑορτὴν τῶν Εἰσοδίων τῆς Θεοτόκου, ὅτε ἄρχονται αἱ Καταβασίαι τῆς ἑορτῆς τῆς Χριστοῦ Γεννήσεως, καταβαίνουσι καὶ τῶν δύο χορῶν οἱ ψάλται ἀπὸ τῶν στασιδίων, καὶ ψαλείσης μόνης τῆς πρώτης Καταβασίας «Χριστὸς γεννᾶται» ὑπὸ τοῦ δεξιοῦ χοροῦ, πάλιν ἀναβαίνουσιν. Ὡσαύτως ἅπαξ τοῦ ἔτους, μόνον κατὰ τὰς ἡμέρας τῆς τε μεγάλης Ἑβδομάδος καὶ τῆς Διακαινησίμου, μετὰ τὸ τέλος ἑκάστης Ὠδῆς, ψάλλεται ἀμέσως καὶ ὁ Εἱρμὸς αὐτῆς, ἀντὶ Καταβασίας, τὰς δὲ λοιπὰς ἑορτὰς αἱ Καταβασίαι ἄρχονται μετὰ τὸν Κανόνα ψαλέντα, ἢ ἀναγνωσθέντα.

Τὸ Ἀπολυτίκιον τροπάριον ὠνόμασται οὕτως, ὡς ψαλ-

(1)MEURS Clossar pag. 583.

λόμενον μετὰ τὸ προηγούμενον ῥητὸν τοῦ Προφήτου καὶ Θεοδόχου Συμεών, «Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα κτλ.», ἐν τῇ ἀπολύσει τοῦ Ἑσπερινοῦ, ὅτε καὶ ὁ λαὸς ἐκ τοῦ Ναοῦ ἀπολύεται. Ψάλλεται δὲ καὶ ἐν ἀρχῇ τοῦ ὄρθρου, καὶ, πλὴν τῶν Κυριακῶν, μετὰ τὴν Δοξολογίαν, καὶ εἰς τὸ Γ'. Ἀντίφωνον, καὶ ἀντὶ τοῦ Εἶδομεν τὸ φῶς ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς.

Καθίσματα δὲ λέγονται τὰ ἐν τῷ Ὄρθρῳ μετὰ τὸ Ἀπολυτίκιον ψαλλόμενα, ἢ καὶ ἀναγινωσκόμενα τροπάρια, καθημένων τῶν ψαλτῶν πρὸς ἄνεσιν μικρὰν τῆς προηγηθείσης ἀναγνώσεως τοῦ Ψαλτηρίου· ἐπὶ τούτῳ διήρηται καὶ τὸ ψαλτήριον εἰς εἴκοσι Καθίσματα, ἵνα καὶ οἱ αὐτὸ ἀναγινώσκοντες κάθηνται ἐνίοτε πρὸς ἀνάπαυσιν· ἀλλ' ἤδη τὰ Καθίσματα οἱ ψάλται ἱστάμενοι ψάλλουσιν, ὡς μὴ κεκοπιακότες· ἄλλος γὰρ ἀναγινώσκει τὸ ψαλτήριον.

Ὑπακοὴ λέγεται τὸ μετὰ τὰ Καθίσματα ἐν ταῖς Ἀναστασίμοις τῶν ἡμερῶν, ἢ καὶ ἐν ταῖς Δεσποτικαῖς Ἑορταῖς ἀναγινωσκόμενον ἢ ᾀδόμενον τροπάριον, διὰ τὴν ὑπακοὴν τοῦ νέου Ἀδὰμ Ἰησοῦ Χριστοῦ, τοῦ τὸν παρακούσαντα τὸ τοῦ Θεοῦ πρόσταγμα παλαιὸν Ἀδὰμ εἰς τὸ ἀρχαῖον ἐπαναγαγόντος ἀξίωμα, ἢ καὶ διὰ τὴν τῶν παραγενομένων ἐν τῷ Χριστοῦ τάφῳ Μυροφόρων γυναικῶν ὑπακοήν, αἵτινες, καὶ μᾶλλον ἡ Θεοτόκος, ἰδοῦσαι αὐτὸν καὶ ὑπακούσασαι ἐν τῷ κήπῳ αὐτοῦ τοῦ νέου Ἀδὰμ, ἔλαβον παρ' αὐτοῦ τὴν χαράν, «χαίρετε» φήσαντος αὐταῖς, τὴν τῆς λύπης καὶ τῆς ἀρᾶς ἀντίθετον, διὰ τῆς ὑπακοῆς ἀπολαύσασαι, ὅπερ διὰ τὴν παρακοὴν ὁ Ἀδὰμ καὶ ἡ Εὔα ἐστέρηνται.

Οἱ δὲ Ἀναβαθμοὶ, ἐκ τῶν τοῦ Δαβὶδ Ἀναβαθμῶν λεγομένων ψαλμῶν συνετάχθησαν, καὶ κατὰ πᾶσαν Κυριακὴν ἐτάχθησαν ᾄδεσθαι, παραδηλοῦντες ὅτι, καθώσπερ ὁ παλαιὸς ἐκεῖνος Ἰσραὴλ ἀπὸ τῆς ἐν Βαβυλῶνι δουλείας εἰς Ἱερουσαλὴμ ἐπανέστρεψεν, οὕτω καὶ ὁ νέος ἡμεῖς, ἐκ τῆς δουλείας τοῦ πονηροῦ ἀπαλλαγέντες, διὰ τῆς Ἀναστάσεως τοῦ Κυρίου ἡμῶν, πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἐπανήλθομεν.

Κοντάκιον ὠνόμασται ἐκ τοῦ Κόντον, ὃ δηλοῖ εἰλιγμένον χαρτίον· τοιοῦτον γὰρ χαρτίον, ὥς φησι Νικηφόρος ὁ Ξανθόπουλος, ἐπέδωκεν ἡ Θεοτόκος τῷ ποιητῇ τῶν Κοντακίων ἁγίῳ Ῥωμανῷ κατ' ὄναρ ἐν τῇ νυκτὶ τῆς Χριστοῦ Γεννήσεως, ὅπερ φαγὼν αὐτὸς, εὐθὺς ἐξεφώνησε μελῳδῶν τὸ, Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει κτλ.»

μς'.

Οἶκος λέγεται τὸ μετὰ τὸ Κοντάκιον ἀναγινωσκόμενον Τροπάριον, κατὰ μεταφορὰν ἐκ τοῦ οἴκου περιέχοντος τὴν περιουσίαν· περιληπτικῶς γὰρ καὶ τοῦτο περιέχει ἐν ἑαυτῷ ἅπαντα τὰ τοῦ Ἁγίου καὶ τῆς Ἑορτῆς. Ἢ ὡς οἱ ἀστέρες ἐν τοῖς κατ' οὐρανὸν καλουμένοις οἴκοις αὐτῶν περιφερόμενοι κινοῦνται, οὕτω καὶ οἱ πολύφωτοι ἀστέρες Ἅγιοι, διαμένουσι καὶ κινοῦνται διαλάμποντες ἐν τοῖς οἴκοις τοῦ νοητοῦ τῆς Ἐκκλησίας στερεώματος, καὶ ἐν ταῖς Οὐρανίαις Μοναῖς αὐλιζόμενοι.

§. 31. Ταύτας οὖν τὰς πνευματικὰς Ὠδὰς, καὶ τοὺς Θεοτερπεῖς Ὕμνους, καὶ τὰ ψυχωφελῆ καὶ σωτήρια Ἄσματα, ὅσαι χεῖρες πνευματοφόρων ἀνδρῶν καὶ θεοφιλῶν Ὑμνογράφων συνταξάμεναι, ἐγκατέλιπον τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ὡς θυμαστόν τινα καὶ ἐξαίσιον πλοῦτον ἐν τοῖς ἱεροῖς Τεύχεσιν ἀποτεθησαυρισμένον. Καὶ ταῦτα δὲ, καὶ πᾶσαν τὴν τῆς δημοσίας λατρείας θεοπρεπεστάτην διατύπωσιν ἐν ταῖς ἱεραῖς Ἀκολουθίαις, αἱ τῶν θείων Πατέρων καὶ τῶν ἁγίων Συνόδων διατάξεις ἐκράτυνάν τε καὶ ἐκανόνισαν. Οὕτως ἡ ἁγία Ζ'. Οἰκουμενικὴ καὶ θεοσύλλεκτος Σύνοδος, κατ' αὐτὴν τὴν ἀρχὴν τῶν ἐν ἁγίῳ Πνεύματι θεσπισθέντων Κανόνων λέγει· « Τῶν κανονικῶν διατάξεων τὰς ὑποτυπώσεις δεχόμενοι ἀσμένως, (τὰ) τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν Δεσπότην Θεὸν, λέγοντες· « Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐν παντὶ πλούτῳ, κτλ. ». Καὶ διαμένουσι τοίνυν μέχρις ἡμῶν καὶ διαμενοῦσιν ἄχρι συντελείας τῶν αἰώνων, ἄνευ τροπῆς τινος ἢ ἀλλοιώσεως, ἐν τῇ Ὀρθοδόξῳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, τῇ ἀπ' ἀρχῆς ἀείποτε ἀναλλοιώτῳ διατελούσῃ, καὶ μηδεμίαν μηδέποτε περὶ τὰ καίρια οὐσιώδη τροπὴν λαβούσῃ, μηδὲ εἰς τοὐπιὸν ληψομένῃ, ὡς ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν ἀκραδάντως τεθεμελιωμένῃ, ὄντος ἀκρογωνιαίου αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (1).

---

(1) Ἐν τοῖς ἑπομένοις δυσὶ Παραγράφοις, χάριν τῶν φιλομούσων Ἀναγνωστῶν, καταλέγομεν ὀνομαστὶ καὶ κατὰ χρονολογίαν τοὺς ἀπὸ τοῦ Α'. μετὰ Χριστὸν αἰῶνος Ὑμνογράφους τῆς Ἐκκλησίας καὶ Ποιητὰς Τροπαρίων καὶ Κανόνων, ὧν ἱκανοὺς εἴδομεν καὶ ἐν τοῖς προηγηθεῖσι 26—29. § Τῶν δὲ ἐπὶ τῆς Βυζαντινῆς ἐποχῆς καὶ ἑξῆς ἄχρι τῶν καθ' ἡμᾶς χρόνων ποικίλα καὶ ἔξοχα μουσικὰ μαθήματα μελουργησάντων, ἃ καὶ ἐκδοθήσονται ἐν τοῖς τῆς Μουσικ. Βιβλιοθήκης Τόμοις, οὐδαμῶς ἐνταῦθα μνησθησόμεθα, ὡς ἐν τῷ Πίνακι ἑκάστου Τόμου καταλεχθησομένων, ἔνθα καὶ ἡ βιογραφία αὐτῶν.

§. 32. Ὅτι μὲν καὶ αὐτὸς ὁ Οὐρανοβάμων Παῦλος καὶ πάντες οἱ Ἀπόστολοι ἦσαν Μουσικῆς ἐγκρατεῖς, καταδείκνυται ἔκ τε τῶν διαταγῶν αὐτῶν, (§. 26), καὶ ἐξ αὐτοῦ τοῦ Παύλου, προτρέποντος, ἵνα ὑμνῶμεν τὸν Θεὸν ἐν ψαλμοῖς καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες κτλ. (§. 25). Καταλεγέσθωσαν δὲ ἤδη οἵ τε Ἀποστολικοὶ ἄνδρες καὶ οἱ μετ' αὐτοὺς τὴν Μουσικὴν ἐπιστάμενοι. Διονύσιος ὁ Ἀρεοπαγίτης, τῷ 50—100 ἔτει, ὁ θεοφάντωρ μαθητὴς τοῦ Διδασκάλου τῶν Ἐθνῶν θείου Παύλου, καὶ ὁ τούτῳ σύγχρονος ἱερώτατος Ἱεροθεος, ὁ Ἀθηνῶν Ἐπίσκοπος· Ἰγνάτιος ὁ θεοφόρος καὶ ἰσαπόστολος, 100—120. Πολύκαρπος ὁ Σμύρνης Ἐπίσκοπος, τῷ 108, καὶ θεῖος μαθητὴς Ἰωάννου τοῦ Θεολόγου. Ἰουστῖνος ὁ φιλόσοφος καὶ Μάρτυς, τῷ 120. Εἰρηναῖος, ὁ θεσπέσιος μαθητὴς τοῦ ἁγίου Πολυκάρπου, περὶ τὸ 126—203. Ὁ θεῖος Κλήμης ὁ Ἀλεξανδρεὺς, τῷ 180. Ἱππόλυτος ὁ ἱερομάρτυς, μαθητὴς τοῦ Εἰρηναίου. Ὠριγένης ὁ μέγας, ὁ ἀδαμάντινος, ἤκμαζε τῷ 231. Γάϊος, πρεσβύτερος Ῥωμαῖος, Εἰρηναίου καὐτὸς μαθητὴς, τῷ 212. Γρηγόριος ὁ θαυματουργὸς, μαθητὴς τοῦ Ὠριγένους, ἐγένετο Ἐπίσκοπος Νεοκαισαρείας, τῷ 240, ἐτελεύτα τῷ 265. Ἀνατόλιος ὁ ἱερώτατος, τῷ 270. Μεθόδιος ὁ ἅγιος Μάρτυς καὶ Ἐπίσκοπος Πατάρων, τῷ 290. Εὐσέβιος ὁ Παμφίλου, ἤκμαζε τῷ 314. Ἀθανάσιος ὁ Μέγας, τῷ 329. Κύριλλος ὁ θεσπέσιος Ἱεροσολύμων Ἱεράρχης, τῷ 350. Ἱλάριος ὁ ἱερώτατος Πικτώνων Ἐπίσκοπος, τῷ 354. Φάβιος Μάριος Βικτωρῖνος, τῷ 362. Περὶ τοὺς αὐτοὺς χρόνους καὶ ἡ ἐν Λαοδικείᾳ ἁγία Σύνοδος μέμνηται καὶ περὶ τῆς Ἐκκλησιαστικῆς ψαλμῳδίας, διατάττουσα τίνας δεῖ ψάλλειν ἐν τῇ Ἐκκλησίᾳ (§. 26. σημ. 3). Ὁ ἱερὸς Ἐπιφάνιος, τῷ 368, Κύπρου Ἀρχιεπίσκοπος. Ἐφραὶμ ὁ Σύρος, τῷ 370, ὁ τρισμακάριστος. Βασίλειος ὁ Μέγας, τῷ 370, καὶ Γρηγόριος ὁ Νύσσης, αὐτάδελφος αὐτοῦ. Γρηγόριος ὁ μέγας ὁ καὶ Θεολόγος, σύγχρονος καὶ συμμαθητὴς τοῦ Μ. Βασιλείου. Ἀμφιλόχιος ὁ ἱερώτατος Ἰκονίου Ποιμὴν, σύγχρονος τῶν ἀνωτέρω. Δίδυμος ὁ Ἀλεξανδρεὺς, περὶ τοὺς αὐτοὺς χρόνους (οὗ ἐμνήσθημεν ἐν τῇ 1. σημ. τῆς 26 §). Ἀμβρόσιος, ὁ ἱερώτατος Ἐπίσκοπος Μεδιολάνων, τῷ 374. Διόδωρος ὁ Ἀντιοχεὺς, τῷ 378, ὁ καὶ διδάσκαλος τοῦ θείου Χρυσοστόμου. Ἱερώνυμος ὁ μακάριος, ἐγεννήθη τῷ 329, ἐτελεύτα τῷ 480. Ῥουφῖνος, Πρεσβύτερος τῆς Ἀκυληΐας, ἤκμαζε περὶ τὸ 380. Αὐγουστῖνος ὁ ἱερώτατος, τῷ 396, Ἐπί-

μή.

σκοπος Ἱππῶνος, ἐτελεύτα τῷ 430. Ἰωάννης ὁ Χρυσόστομος, ἐγεννήθη τῷ 344, ἐκοιμήθη τῷ 407. Παλλάδιος ὁ θαυμάσιος, τῷ 401. Πολυχρόνιος, τῷ 410, Σύρος τὸ γένος, Ἀπαμείας Ἐπίσκοπος. Συνέσιος ὁ Κυρηναῖος καὶ αὐτῆς τῆς Κυρήνης Ἐπίσκοπος, τῷ 410. Ἰσίδωρος ὁ Πηλουσιώτης, τῷ 412, μαθητὴς τοῦ μεγάλου Χρυσοστόμου. Κύριλλος ὁ Ἀλεξανδρείας, καὶ τῆς Ἐκκλησίας φωστὴρ, τῷ 412. Νεῖλος ὁ ἁγιώτατος, μαθητὴς τοῦ θείου Χρυσοστόμου περὶ τὸ 430. Θεοδώρητος ὁ Κύρου Ἐπίσκοπος, τῷ 428. Πρόκλος ὁ ἁγιώτατος Πατριάρχης Κωνσταντινουπόλεως, ἐτελεύτα τῷ 446. Ἀνατόλιος Πατριάρχης Κ Π, τῷ 450. Ἀνδρέας ὁ Πυῤῥὸς, Ἄνθιμος καὶ Τιμοκλῆς, τῷ 457 (1). Ῥωμανὸς, ὁ ποιητὴς τῶν Κοντακίων, τῷ 496. Συμεὼν ὁ ὅσιος Πατὴρ, τῷ 527, ὁ Θαυμαστορείτης. Μαυρίκιος ὁ Αὐτοκράτωρ, τῷ 572. Δωρόθεος ἀρχιμανδρίτης, Παλαιστινὸς, τῷ 601. Σωφρόνιος ὁ ἁγιώτατος, τῷ 629, Πατριάρχης Ἱεροσολύμων. Ἀνδρέας ὁ ἱερώτατος, τῷ 639, Κρήτης Ἀρχιεπίσκοπος. Γεώργιος ὁ Πισίδης, τῷ 640. Μάξιμος ὁ θεῖος ὁμολογητὴς, τῷ 645. Γερμανὸς, Πατριάρχης Κ Π, καὶ ὁμολογητὴς τῆς εὐσεβείας, τῷ 715. Κοσμᾶς ὁ Ἱεροσολυμίτης, τῷ 740, ὁ καὶ ἐπίσκοπος Μαϊουμᾶ, ἐξ Ἰταλίας καταγόμενος, ἤτοι ἐκ τῶν ἐν Ἰταλίᾳ Ἑλλήνων, « καὶ πνέων μουσικὴν ὅλως τὴν ἐναρμόνιον » (Σουΐδ.). Ἰωάννης ὁ Δαμασκηνὸς, σύγχρονος καὶ μαθητὴς τοῦ ἱεροῦ Κοσμᾶ εἰς τὰ ἐγκύκλια καὶ εἰς τὴν μουσικήν. Ἠλίας Κρήτης, ὁ ἔκδικος, τῷ 787. Νικηφόρος ὁ ἐν ἁγίοις Πατριάρχης Κωνσταντινουπόλεως, τῷ 806. Θεόδωρος ὁ Στουδίτης, τῷ 813, καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης ὁ Θεσσαλονίκης Ἐπίσκοπος. Θεόδωρος καὶ Θεοφάνης ἀδελφοὶ, οἱ ὁμολογηταὶ, οἱ καὶ γραπτοὶ τὸ ἐπώνυμον, τῷ 818. Θεόφιλος ὁ Αὐτοκράτωρ, τῷ 830. Οὗτος ἐποίησε τὸ « Ἄκουε Κόρη, » καὶ τὸ « Ἐξέλθετε ἔθνη. » Μιχαὴλ ὁ Σύγκελος, τῷ 830. Μεθόδιος Πατριάρχης Κ Π, ὁ ὁμολογητὴς, τῷ 842. Μητροφάνης ὁ Σμύρνης, ὁ συμπληρώσας τοὺς Τριαδικοὺς Κανόνας, τῷ 850. Ἐφραὶμ Καρίας. Φώτιος, τὸ μέγα ὄνομα, Πατριάρχης Κ Π. τῷ 858. Βασίλειος Αὐτοκράτωρ, ὁ Μακεδὼν, τῷ 867. Ἰωσὴφ ὁ ὅσιος Ὑμνωδὸς, ὁ ἐκ Σικελίας, ὁ ἐπικληθεὶς Ὑμνογράφος, τῷ 840—883. Γεώργιος Νικομηδείας τῷ 880, καὶ ἀρχαιότερος τούτου Γεώργιος ὁ Ἀμάστριδος. Λέων Αὐτοκράτωρ, ὁ Σοφὸς, τῷ 889. Μάρ-

(1) Θεόδ. Ἀναγν. ἐν Ἐκλογ.

κος Μοναχὸς, σύγχρονος αὐτοῦ. Συμεὼν ὁ Μεταφραστὴς, τῷ **901**. Ἰωάννης Καμενιάτης, Θεσαλονικεὺς, τῷ **904**. Κωνσταντῖνος Αὐτοκράτωρ, τῷ **911**, ὁ Πορφυρογέννητος, υἱὸς τοῦ σοφοῦ Λέοντος. Σουΐδας ὁ γραμματεὺς καὶ Λεξικογράφος, τῷ **980**. Ἰωάννης ὁ Μαυρόπους, Ἐπίσκοπος Εὐχαΐτων, τῷ **1030**. Ἀρσένιος, Βαβύλας, Κλήμης, Βύζας ὁ καὶ Βυζάντιος, Βασίλειος ὁ Πηγοριώτης, Ἰωάννης Μοναχὸς, ὁ ὅσιος Στέφανος ὁ Σαββαΐτης, Σέργιος καὶ Στέφανος, οἱ Ἁγιοπολῖται, Συμεὼν ὁ Λογοθέτης, Γεώργιος ὁ Σκυλίτσης, Λέων ὁ Μάγιστρος, Ἰωάννης ὁ Ζωναρᾶς (1), Νικήτας ὁ Στηθάτος, τῷ **1050**. Μιχαὴλ ὁ Ψελλὸς τῷ αὐτῷ ἔτει. Νικήτας ὁ Σερρῶν καὶ εἶτα Ἡρακλείας, τῷ **1077**. Θεοφάνης ὁ Κεραμεὺς, Ἀρχιεπίσκοπος Ταυρομενίας, τῷ **1130—1152**. Θεόδωρος ὁ Πτωχοπρόδρομος, μεταξὺ τοῦ **1143** καὶ **1180**. Εὐστάθιος ὁ πολυμαθέστατος, ἀκμάσας τῷ **1170**, ἐτελεύτα τῷ **1196**. Θεόδωρος ὁ Βαλμασὼν, τῷ **1180**. Θεόδωρος Αὐτοκράτωρ, ὁ Λάσκαρις, τῷ **1198**. Γερμανὸς Πατριάρχης Κ Π, ὁ Νέος ἐπωνομασθεὶς, τῷ **1226**. Νικηφόρος ὁ Βλεμμίδης, τῷ **1255**. Νικηφόρος ὁ Καβάσιλας, τῷ **1350**, ἀδελφιδοῦς τοῦ θεσπεσίου Νείλου τοῦ Θεσσαλονίκης. Νικηφόρος Κάλλιστος ὁ Ξανθόπουλος, τῷ **1333**. Οὗτος (ἐν Συνόψ. τῆς Γραφ.) κεφαλαιωδῶς ἀριθμεῖ τοὺς ἐξόχους Μελῳδοὺς τῆς Ἐκκλησίας διὰ τῶν ἑφεξῆς Ἰαμβείων·

« Οἱ τὰ μέλη πλέξαντες ὕμνων ἐνθέων,
Ἡ λύρα τοῦ Πνεύματος Κοσμᾶς, ὁ ξένος (2).
Ὀρφεὺς νεαρὸς, ἡ Δαμασκόθεν χάρις,
Καὶ Θεόδωρος, Ἰωσὴφ (θ') οἱ Στουδῖται,
Ὄργανα τὰ κράτιστα τῆς μουσουργίας.
Ξένη τε σειρὴν (3), Ἰωσὴφ ὑμνογράφος·
Μέλος παναρμόνιον, Ἀνδρέας Κρήτης.
Καὶ Θεοφάνης ἡ μελιχρὰ κινύρα,
Γεώργιος (4), Λέων τε (5), Μάρκος (6), Κασσία » (7).

Γρηγόριος ὁ Παλαμᾶς ὁ θεσπέσιος, τῷ **1354**. Φιλόθεος Πατριάρχης Κ Π. τῷ **1354**. Μανουὴλ Αὐτοκράτωρ, ὁ Παλαιολόγος, τῷ **1373**. Συμεὼν ὁ Θεσσαλονίκης, τῷ **1416**. Μάρκος ὁ Ἐφέσου ὁ

(1) Ἴδ. περὶ τούτων Κ. τοῦ ἐξ Οἰκον. περὶ τῶν Ο'. Ἑρμην. Τόμ. Δ'. σελ. **762**. ἐν τῇ σημ. (2) Ὡς ἐκ τῆς Ἰταλίας ἕλκων τὸ γένος. (3) Ὡς ἐκ Σικελίας. (4) Ὁ Νικομηδείας. (5) Ὁ Αὐτοκράτωρ, ὁ σοφός. (6) Ὁ Ἱδροῦντος. (7) Ἡ Μοναχὴ, ἡ καὶ Κασσιανὴ, καὶ ἄλλως Ἰκασία, παραφθαρὲν ἐκ τοῦ Ἡ Κασσία.

Εὐγενικὸς, τῷ 1436. Γεννάδιος ὁ Σχολάριος, Πατριάρχης Κ Π, τῷ 1454. Μανουὴλ ὁ μέγας Ῥήτωρ, τῷ 1500. Παχώμιος Μοναχὸς ὁ καὶ Ῥουσάνος τὸ ἐπώνυμον, τῷ 1530.

§. 33. Καὶ ἄλλους γε πολλοὺς τῶν ἀρχαίων Ὑμνῳδῶν παρελίπομεν, θηρεύοντες, ὅσον ἐνῆν, τὸ εὐσύνοπτον. Ὅτι δὲ καὶ οἱ μετὰ Γεννάδιον τὸν Σχολάριον ἄχρι τῆς ἐποχῆς ἡμῶν ἐπὶ παιδείᾳ διαπρέψαντες ἔκ τε τοῦ ἱεροῦ Κλήρου καὶ τοῦ λαοῦ, ἅπαντες σχεδὸν καὶ τὴν Μουσικὴν ἠπίσταντο, τοῦτο πάντῃ ἀδιαφιλονείκητον. Πῶς γὰρ ἂν ἀδαεῖς Μουσικῆς ὑπολάβοιμεν τοὺς κατὰ πάντα μιμητὰς τῶν ἀρχαίων ἐκείνων ἁγίων Πατέρων, καὶ ἐπ' ἀρετῇ καὶ ἁγιότητι βίου καὶ ἐπὶ σοφίᾳ περικλεεστάτους καὶ πολυγραφωτάτους. οἷον, τὸν Ἐπίσκοπον Κυθήρων (1571), Μάξιμον τὸν Μαργούνιον, Μελέτιον τὸν Πηγᾶν (1575), Γαβριὴλ τὸν Φιλαδελφείας (1587), Ἱερεμίαν Β'. (1572), Γεώργιον τὸν Κορέσιον (1641), Μελέτιον τὸν Συρίγου (1639), Νεκτάριον (1660), Δοσίθεον (1669), Χρύσανθον τὸν Νοταρᾶν (1707), Πατριάρχας Ἱεροσολύμων, Ἀλέξανδρον τὸν Μαυροκορδάτον (1627—1719), Μελέτιον τὸν Ἀθηνῶν (1703), Ἀθανάσιον Κ Π. τὸν Ε'.(1710), Ἠλίαν τὸν Μηνιάτην (1711), Εὐγένιον τὸν Βούλγαριν (1716), Νεόφυτον τὸν Καυσοκαλυβίτην (1750), Νικηφόρον τὸν Θεοτόκην (1760), Ἀθανάσιον τὸν Πάριον (1790), Ἄνθιμον Πατριάρχην Ἱεροσολύμων (1793), Κωνστάντιον Α'. τὸν ἀπὸ Σιναίου Πατριάρχην Κ Π (1830), καὶ πλείστους ἄλλους, οὓς παραλείπομεν (1); Τοσοῦτοι γοῦν καὶ τοιοῦτοι σοφώτατοι Μελῳδοὶ, οὓς ἡ θεία χάρις ποικιλογήρεις ἀνέδειξε λογικὰς ἀηδόνας, καταφωνούσας τὸν ἀειθαλῆ καὶ εὐῴδη τῆς τοῦ Χριστοῦ Ἐκκλησίας Παράδεισον, διασκεδάζουσι τὸν κόρον καὶ ἀποτελοῦσι τὴν ψυχὴν, κατὰ τὸν Μ. Βασίλειον, νεαρωτέραν καὶ ἀκμάζουσαν· « Ἐν μὲν γὰρ τῇ ὁμαλότητι, πολλάκις που καὶ ἀκηδιᾷ ἡ ψυχὴ, καὶ ἀπομετεωρίζεται· ἐν δὲ τῇ ἐναλλαγῇ καὶ τῷ ποικίλῳ τῆς ψαλμῳδίας, νεαροποιεῖται αὐτῆς ἡ ἐπιθυμία, καὶ ἀνακαινίζεται τὸ νηφάλιον »(2).

---

(1) Βλ. Κατάλογον τῶν ἀπὸ τῆς Βυζαντινῆς ἐποχῆς Μελοποιῶν ἄχρι τῶν καθ' ἡμᾶς χρόνων συνταχθέντα παρὰ τοῦ ἀοιδίμου Διδασκάλου καὶ ἐξηγητοῦ Χρυσάνθου Προύσης, καὶ ἐκδοθέντα ἔν τε τῷ μεγάλῳ Θεωρητικῷ καὶ ἐν τῇ Κρηπίδι Θ. τοῦ Φωκαέως. Καὶ τούτων δὲ τῶν Μελοποιῶν, ὅσων τὸν βίον εἰδομεν, ὡς καὶ τῶν ἐν ταῖς προηγουμέναις παραγράφοις ἀριθμηθέντων καταγράψομεν ἐν περιλήψει εἰς τὸ τέλος ἑκάστου Τόμου τῆς δὲ τῆς Μουσικῆς Βιβλιοθήκης, ὡς προείπομεν. (2) Ὅρ. κατὰ Πλάτ. λζ'.

§. 34. Πάντες οἱ ἀρχαῖοι Ὑμνῳδοὶ ἐτόνιζον καὶ ἔψαλλον τοὺς ὕμνους καὶ τὰ διάφορα αὐτῶν μέλη κατὰ τοὺς αὐτοὺς νόμους, ἢ ἤχους, τοὺς ἐξ ἀρχῆς παρὰ τῶν Ἀποστολικῶν ἀνδρῶν διαταχθέντας, καὶ διὰ τῆς παραδόσεως μέχρις ἡμῶν κεκρατηκότας, ὡς ἐκ τῶν ἑξῆς καταδεικνύεται. Πάντα τὰ τῆς καθ' ἡμᾶς Ἐκκλησιαστικῆς Μουσικῆς Προσόμοια λεγόμενα Τροπάρια καὶ οἱ Εἱρμοί, καὶ τὰ πολλὰ τῶν ἄλλων τοιούτων μελῳδρίων (καὶ αὐτοὶ δὲ οἱ ἀρχαιότατοι ὕμνοι), σύγκεινται ἐκ κώλων καὶ κομμάτων ἄλλοτε μὲν ἴσων καὶ ὁμοίων κατ' ἀκολούθους ὁμοζυγίας συντεθειμένα, ἄλλοτε δὲ εἰς ἄνισα καὶ ἀνόμοια κῶλα καὶ ποικίλας στροφὰς διηρημένα, καὶ συναπαρτίζουσιν οἷον στίχους λογοειδεῖς, ἐκ τῶν συλλαβῶν συμμέτρως κατὰ τόνους ῥυθμιζομένους. Τούτων τοίνυν ἕκαστον ψάλλεται κατὰ τὸν ἦχον, ἢ νόμον, καθ' ὃν καὶ ἐμελουργήθη· εἰ δέ τις ψάλλει τοῦτο τὸ Τροπάριον, ἢ ἐκεῖνον τὸν Εἱρμὸν, κατ' ἄλλον ἦχον διάφορον τοῦ καθ' ὃν ὁ πρῶτος μελουργὸς ἐῤῥύθμισεν αὐτὰ, καὶ αἱ λέξεις τότε καὶ ἡ προσῳδία καὶ ἡ ἔννοια κατακερματίζονται, καὶ ὁ ῥυθμὸς ἀπόλλυται, καὶ ἡ ἁρμονία τοῦ μέλους λυομένη, ἀηδίαν ἐμποιεῖ καὶ τῷ ψάλλοντι καὶ τοῖς ἀκούουσιν. Οὕτω καὶ τὰ ἐπὶ τοῦ Μ. Ἀθανασίου καὶ Βασιλείου ψαλλόμενα μέλη τοῖς αὐτοῖς ἤχοις καὶ νόμοις ἐψάλλοντο, καθ' οὓς καὶ τὰ ἐπὶ τῶν Ἀποστολικῶν ἀνδρῶν μελῳδήματα. Ἀλλὰ καὶ τὰ τοῦ θείου Δαμασκηνοῦ Ἀναστάσιμα Τροπάρια τὸν αὐτὸν ἔχουσι ῥυθμὸν, ὃν καὶ τὰ τοῦ Ἀνατολίου πρὸ 300 ἐτῶν μελοποιηθέντα. Καὶ τὰ τοῦ Ῥωμανοῦ δὲ τοῦ μελῳδοῦ Κοντάκια, καὶ τὰ ἐπὶ Δωροθέου τοῦ Παλαιστινοῦ Πασχάλια Τροπάρια, καὶ τὰ τοῦ ἱεροῦ Ἀνδρέου Κρήτης πλεῖσθ' ὅσα πλήρη πνευματικῆς εὐφροσύνης καὶ χάριτος, ἐτονίσθησαν καὶ ἐψάλλοντο, ὡς καὶ παρ' ἡμῖν τὴν σήμερον, ὡς τοῦτο δείκνυται ἐξ ὧν γράφει ὁ μνημονευθεὶς Δωρόθεος· ἐν γὰρ τῇ κβ'. Διδασκαλίᾳ αὐτοῦ γέγραπται, « Ἑρμηνεία τινῶν ῥητῶν Γρηγορίου τοῦ Θεολόγου, ψαλλομένων μετὰ Τροπαρίων εἰς τὸ ἅγιον Πάσχα »· ἔνθα ἐξηγεῖ τὸ, Ἀναστάσεως ἡμέρα . . . Πάσχα Κυρίου Πάσχα κτλ (1). Ἐκ τούτων δὲ τοῦ Γρηγορίου καὶ ὁ ἱερὸς Ἰωάννης ὁ Δαμασκηνὸς ἐμελοποίησεν ὃν καὶ ἤδη ψάλλομεν Εἱρμὸν τῆς

(1) Γρηγ. Ναζ. λόγ. μά, μβ'.

Α'. Ὠδῆς τοῦ Κανόνος τοῦ Πάσχα ἐν ἤχῳ ά. (1) κτλ. Ἐν δὲ τῇ κγ'. Διδασκαλία, καὶ ἄλλα ῥητὰ τοῦ Γρηγορίου ἐξηγεῖ, ψαλλόμενα εἰς τοὺς Μάρτυρας, καὶ ἰδίως τὸ καὶ νῦν ψαλλόμενον « Ἱερεῖα ἔμψυχα » (2). Ὥστε λίαν καταφανές ἐστιν, ὅτι καὶ πρόπαλαι καὶ ἐπὶ τοῦ Δωροθέου καὶ ἐφεξῆς, οὐ μόνον καὶ τὸ ὄνομα καὶ ἡ χρῆσις τῶν Τροπαρίων ὑπῆρχεν ἐν ταῖς ἱεραῖς Ἀκολουθίαις τῆς Ἐκκλησίας, ἀλλὰ καὶ κατὰ τοὺς αὐτοὺς ἤχους, ἢ νόμους, τῆς Ἐκκλησιαστικῆς Μουσικῆς καὶ ταῦτα ἐψάλλοντο, καθ' οὓς καὶ μέχρι τῆς σήμερον ψάλλονται. Καί τοι δὲ οὐδεμία ἀνάγκη, ἵνα καὶ ἐκ τῶν ἀποσκιρτησάντων ἀπὸ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἀρχαίων Αἱρετικῶν φέρωμεν ἀπόδειξιν, ἀλλ' ὅμως λέγομεν, ὅτι καὶ τούτων αἱ Ὠδαὶ τὸν αὐτὸν ἐτήρουν ῥυθμόν· οὕτω τὸ τῶν Ἀρειανῶν σωζόμενον κόμμα, « Ποῦ εἰσιν οἱ λέγοντες τὰ τρία μίαν δύναμιν» (3), συμπίπτει ἀκριβῶς πρὸς τὸ τοῦ β'. ἦχου, « Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον, Κύριε, » καθ' ὃ πάντως καὶ ἐψάλλετο.

§, 35. Διὰ τίνων δὲ σημείων ἐτόνιζον οἱ ἀρχαῖοι Μελῳδοὶ τὰ ποιήματα αὐτῶν, τοῦτο ἤδη διὰ βραχέων θεωρητέον. Μεταγενέστεροι Συγγραφεῖς λέγουσι, μετά τινος ἀληθείας, εὑρετὴν τῆς σημειογραφίας Πτολεμαῖον τὸν Φιλάδελφον, τῷ 285 ἔτει Π. Χ. καὶ ὅτι οὗτος εὑρὼν τοὺς νόμους, ἢ ἤχους, συγκεχυμένους, διέταξε τοὺς σοφοὺς Ἑλληνιστὰς τῶν Ἑβραίων τοὺς μεταφραστὰς τῆς παλαιᾶς Γραφῆς, ἵνα συντάξωσι πάντα τὰ μέλη, ἐξ ὧν ἐποίησαν Βιβλίον καλούμενον Μουσικὸν, μὴ σωζόμενον, ἐξ οὗ καὶ πᾶσα ἡ τέχνη τῆς Παπαδικῆς ἐγνωρίσθη (4). Βεβαιό-

(1) Σώζεται ἐν τῇ Βιβλιοθήκῃ τῆς Βασιλικῆς Μονῆς τοῦ Βατοπεδίου, ὡς σημειοῖ ὁ ἀοίδιμος Νικόδημος ὁ Ἁγιορείτης (ἰδ. Ἑορτοδρ. σελ. 424. σημ.) Κανὼν τῆς Κυριακῆς τοῦ ἁγίου Πάσχα εἰς ἦχον β'. πρὸς τὸ « Δεῦτε λαοί », μελοποιηθεὶς ὑπὸ τοῦ θεσπεσίου Κοσμᾶ, διδασκάλου τοῦ ἱεροῦ Δαμασκηνοῦ. Ἄδεται δὲ λόγος (φησὶν) ἐκ Πατέρων εἰς ἡμᾶς ἐλθών, ὅτι πρῶτον ὁ θεῖος Κοσμᾶς ἀνέγνω τὸν ἴδιον Κανόνα, ὃν καὶ ἐπῄνεσεν ὁ μαθητὴς, εἶτα δὲ καὶ οὗτος ἀνέγνω τὸν παρ' αὐτοῦ ποιηθέντα, ἀλλ' ὅτε ἤκουσεν ὁ θεῖος Κοσμᾶς τὸ Τροπάριον « Νῦν πάντα πεπλήρωται φωτὸς, οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια, » τότε ὑπερθαυμάσας καὶ ἐκπλαγεὶς· « Καὶ σὺ, ἔφη, ἀδελφὲ Ἰωάννη, τὸ πᾶν ὅλον ἐν τοῖς τρισὶ τούτοις συμπεριέλαβες, καὶ οὐδὲν ἀφῆκες ἔξωθεν· ἤττημαι γοῦν ἐγὼ καὶ τὴν ἧτταν ὁμολογῶ· ὅθεν ὁ μὲν σὸς Κανὼν ἐχέτω τὰ πρωτεῖα καὶ ἀριστεῖα, καὶ ψαλλέσθω δημοσίως ἐν ταῖς τοῦ Χριστοῦ Ἐκκλησίαις, ὁ δ' ἐμὸς ἐν σκότει καὶ γωνίᾳ μενέτω, ὡς μὴ ὢν φωτὸς ἄξιος διά τε τὰ νοήματα καὶ διὰ τὸν πενθικὸν καὶ κλαυθμηρὸν ἦχον, καθ' ὃν ἐμελοποιήθη, ἀνάρμοστον πάνυ ὄντα ἐν τῇ λαμπροτάτῃ καὶ κοσμοχαρμοσύνῳ ἡμέρᾳ τῆς τοῦ Κυρίου Ἀναστάσεως. » (2) Ἰδ. Παρακλητ. ἦχ. πλ. ά. (3) Σωκρ. ς'. 8. καὶ Σωζόμ. ή. 8. (4) Ἰδ. Θεωρητ. μέγ. Χρυσάνθ. ἐν Καταλόγ.

τερον δὲ φαίνεται, ὅτι οἱ πρῶτοι τῆς Ἐκκλησίας Μουσουργοὶ δεδώκασιν εἰς τὰ σημεῖα τῆς Ἐκκλησιαστικῆς Μουσικῆς καὶ τὴν μορφὴν καὶ τὸ ὄνομα, μέρος μὲν ἐκ τῶν διαγραμμάτων τῆς παλαιᾶς τῶν Ἑλλήνων Μουσικῆς, τὸ πλεῖστον δὲ καὶ ἐκ τῶν προδιατυπωθέντων γραμματικῶν τῆς Προσῳδίας σημείων, ὡς τοῦτο τεκμαιρόμεθα ἔκ τινων ἰδίων ὀνομασιῶν αὐτῶν, καὶ ἐκ τῆς εἰς τόνους καὶ πνεύματα διαιρέσεως αὐτῶν. Οἱ πρῶτοι δὲ οὗτοι τῆς Ἐκκλησίας Ὑμνῳδοὶ μετερρύθμησαν τὰ σημεῖα καὶ τὰ πλεῖστα τῶν ὀνομάτων τῆς Ἐκκλησιαστικῆς Μουσικῆς, ἴσως ἵνα διαφέρωσιν ὁπωσδήποτε τῆς διδασκαλίας τῆς τῶν εἰδωλολατρούντων ἔτι τότε λοιπῶν Ἑλλήνων Μουσικῆς. Ἀλλὰ ταῦτα τὰ σημεῖα κατ' ἀρχὰς μὲν ἦσαν ἁπλούστατα, οἱ δ' ἐφεξῆς Μουσοποιοὶ ἐπλάτυναν κατὰ μικρὸν τὴν περὶ τούτων διδασκαλίαν, καὶ μάλιστα ὁ ἱερὸς Δαμασκηνὸς ἐπενόησε τὸν τρόπον τοῦ γράφειν τὰ μέλη διὰ συμβολικῶν χαρακτήρων· ἀκολούθως δὲ ἐπηυξήθησαν καὶ τὰ μεγάλα λεγόμενα σημεῖα, ἅπερ ἦσαν τόποι τινὲς πολλῶν φωνῶν δύναμιν ἔχοντες, ὡς ἦσαν καὶ τὰ παλαιὰ τῆς στενογραφίας σημεῖα, «ἐν μικροῖς καὶ βραχέσι τύποις πολλῶν γραμμάτων δύναμιν ἔχοντα» (1).

§. 36. Ὅτι δὲ ἡ καθ' ἡμᾶς Ἐκκλησιαστικὴ Μουσικὴ ἡ αὐτή ἐστι καὶ ἡ διδαχθεῖσα ὑπὸ τοῦ μελῳδικωτάτου Ἰωάννου τοῦ Δαμασκηνοῦ, αὕτη δὲ πάλιν ὁμοία περὶ τὰ καθόλου τῇ πρώτῃ τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας Μουσικῇ, μὴ διαφερούσῃ τῆς Ἑλληνικῆς τοσοῦτον, ὅσον τινὲς τῶν Εὐρωπαίων ὑπέλαβον μὴ εἰδότες αὐτὴν, τοῦτο καὶ ἐκ τῶν προειρημένων δείκνυται, καὶ ἐκ τῶν ἐφεξῆς τρανώτατον γίνεται. Κατὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἐπῆλθον ἀπ' ἀρχῆς καὶ καταιγίδες αἱρετικῶν, καὶ πρηστῆρες ψευδαδέλφων, καὶ διωγμῶν τοσούτων λαίλαπες, καὶ δορυκτητόρων χείμαρροι, καὶ παντοῖα ἑτερόδοξα Ἔθνη, βίᾳ καὶ ξίφει καὶ πειθοῖ καὶ λόγοις καὶ δωρεαῖς, πόλλ' ἐμόγησαν συνελάσαι αὐτὴν πρὸς τὰς ἑαυτῶν δοξασίας, ἀλλὰ τὸ Ὀρθόδοξον Ἔθνος ἡμῶν, οὐδὲν τῶν ξενικῶν τούτων ἐπιτηδευμάτων ζηλῶσαν, ὡς ἄλλοι πολλοὶ τοῦτο ἔπαθον, ἔμεινεν ἐν

(1) Ἐκ τοῦ περὶ Προφορ. τῆς Ἑλλ. Γλ. Βιβλ. Κωνστ. τοῦ ἐξ Οἰκον. σελ. 457. Σημ. Ἐν τῇ Βιβλιοθήκῃ τῆς Ἐμπορικῆς Σχολῆς τῆς Παναγίας ἐν Χάλκῃ, σώζεται χειρόγραφος Ἀπόστολος, μετὰ σημείων μουσικῶν ὅμοιος ἴσως πρὸς τὸν ἐν τῇ Μονῇ τῆς Ἀμοργοῦ εὑρισκόμενον, ἢ καὶ πρὸς τὸ ὑπὸ τοῦ Βιβλιοθηκαρίου τῆς Βοδλειανῆς Κὸξ εὑρεθὲν χειρόγραφον ἐν Ἱεροσολύμοις.

νδ.

τῇ θεοκτίστῳ τῆς Ἐκκλησίας Κιβωτῷ διασῶζον, ὥσπερ τὸ ὀρθόδοξον τῆς πίστεως αὐτοῦ φρόνημα, οὕτω καὶ τὴν γλῶσσαν καὶ τὴν Μουσικὴν τῶν προγόνων αὐτοῦ, τρεφόμενον τὸν ἄρτον τῆς ζωῆς ἐν ταῖς ἁγίαις Γραφαῖς, ἐξ ὧν καὶ οἱ θεῖοι Ὑμνῳδοὶ ἐμελοποίουν τὰς θεοπρεπεῖς τῆς Ἐκκλησίας Ὠδάς. Καὶ αὐτὸς ὁ ἡγεμὼν τῶν Ἀποστόλων Παῦλος, ὡς πάνυ ἐγκρατὴς τῆς Ἑλληνικῆς γλώσσης, ἠπίστατο πάντως καὶ τὴν Μουσικήν· καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης ὁ μαθητὴς αὐτοῦ, ἐγίνωσκεν ἀκριβῶς τὴν πάτριον αὐτοῦ Ἑλληνικὴν Μουσικὴν, καὶ τοσοῦτοι ἄλλοι Πατέρες ἐξ Ἑλλήνων τὸ γένος ἕλκοντες, ὧν καὶ προηγουμένως ἐμνήσθημεν, τῆς Ἑλληνικῆς Μουσικῆς καὶ οὗτοι ἦσαν εἰδήμονες. Ἀλλὰ καὶ ὁ ἱερὸς Κοσμᾶς, ὁ ἐξ Ἰταλίας εἰς Συρίαν αἰχμάλωτος ἀπαχθεὶς καὶ παρὰ τοῦ πατρὸς τοῦ Δαμασκηνοῦ ἐξωνηθείς, τίνα μουσικὴν ἐδίδαξε τὸν θεῖον αὐτοῦ μαθητήν; τὴν Ἑλληνικὴν βεβαίως· τὴν γὰρ Ἰταλίαν Ἕλληνες ᾤκουν, καὶ μεγάλη Ἑλλὰς αὐτὴ ὠνομάζετο. Ἀλλὰ δὴ καὶ αὐτὰ τὰ γένη τῆς καθ' ἡμᾶς Μουσικῆς, καὶ αὐτοὶ οἱ νόμοι ἢ ἦχοι μαρτυροῦσιν Ἑλληνικὴν τὴν καταγωγὴν αὐτῆς· ἔχει γὰρ καὶ ἡ ἡμετέρα τὸ διατονικὸν καὶ χρωματικὸν καὶ ἐναρμόνιον τῆς ἀρχαίας Ἑλληνικῆς Μουσικῆς, καὶ τοὺς Ἐκκλησιαστικοὺς ἤχους εὑρίσκομεν παρά τισι τῶν ἀρχαίων Μουσικῶν τῆς Ἐκκλησίας, Λύδιον καὶ Φρύγιον καὶ Δώριον καὶ Μιξολύδιον κτλ, ἑλληνικώτερον ὠνομασμένους, ὡς εἶχε κἀκείνη τὰς Λυδίους καὶ Φρυγίους ὀνομασίας αὐτῆς. Ὁ δὲ ἀοίδιμος Μιχαὴλ ὁ Ψελλὸς, ὁ κατὰ τὸν ΙΑ'. αἰῶνα περὶ Μουσικῆς Ἑλληνικῆς συγγράφων, οὐ διήρει τὴν Ἐκκλησιαστικὴν, ὡς διαφέρουσαν ἐκείνης.

§. 37. Καθώσπερ τὰς τέχνας καὶ ἐπιστήμας καὶ πάντα τῆς παιδείας τὰ φῶτα παρὰ τῶν Ἑλλήνων παραλαβόντες οἱ Εὐρωπαῖοι ἔμαθον, οὕτω καὶ τὴν Μουσικὴν αὐτῶν· καὶ ἰδοὺ ἡ δεῖξις. Τῆς μὲν Δύσεως ὁ πληθυσμὸς τὸ πάλαι κατὰ μέγα μέρος συνέκειτο ἐκ φυλῶν βαρβάρων καὶ νεηλύδων, αἵτινες περὶ τὴν πτῶσιν τῆς Δυτικῆς Αὐτοκρατορίας, σμηνηδὸν ἐκ περάτων εἰς Εὐρώπην συνέρρευσαν ἄγνωστοι, πλανήτιδες, ἀκέφαλοι, φερέοικοι, ἀμαθεῖς, ἄνευ ἱστορίας καὶ στερεῶν παραδόσεων· ἀλλ' οἱ ἐν τῇ Ἀνατολῇ λαοὶ οὐκ ἦσαν ἐπήλυδες, ἀλλ' ἰθαγενεῖς. Δυνάμει τῆς ἱστορίας αὐτοῦ ὁ Ἑλληνικὸς λαὸς διετέλει ὢν ἀρχαιονόμος καὶ ἀρχαιότροπος, ὅσον οὐδεὶς ἄλλος, συντηρητικὸς τῶν πατρώων καὶ ἀφιλόκαινος· διέσωζε τὸν ἐθνικὸν πλοῦτον καὶ διετήρει τὰς

παραδόσεις, καὶ μετεδίδου τὰ ἔθιμα αὐτοῦ καὶ τὴν γλῶσσαν καὶ τὰς τέχνας καὶ τὰς ἐπιστήμας. Ἐκ τῆς Ἐκκλησιαστικῆς ἱστορίας μανθάνομεν, ὅτι ὁ ἱερώτατος Ἀμβρόσιος, Ἐπίσκοπος Μεδιολάνων, τῷ 374, ἔτει, εἰσήγαγεν ἐν τῇ Δύσει, ὃν παρὰ τῶν Ἀνατολικῶν ἔλαβε μουσικὸν χορόν. Ὁ δὲ Βοέτιος, ὁ πρῶτος μουσικὸς Συγγραφεὺς τῆς αὐτοῦ πατρίδος Ῥώμης, τὴν τῶν Ἑλλήνων Μουσικὴν ἐμυήθη περὶ τὰς ἀρχὰς τοῦ ΣΤ'. αἰῶνος, μάλιστα δὲ τὸν Ἐκκλησιαστικὸν χορὸν, ὃν ὁ μέγας Γρηγόριος ἐν πάσαις ταῖς δυτικαῖς Ἐκκλησίαις εἰσήγαγε, διὸ καὶ Γρηγοριανὸν μέλος καλεῖται πρὸς τιμὴν αὐτοῦ. Βλέπομεν δὲ προσέτι, ὅτι καὶ ἐπὶ τῆς Βυζαντινῆς ἐποχῆς καὶ μετ' αὐτὴν, πλεῖσται οἰκογένειαι Ἑλλήνων καὶ Ἀλβανῶν ἐξ Ἠπείρου, Κορώνης, Μεθώνης, Λακωνίας καὶ ἄλλων ἐπαρχιῶν, μεταναστεύσασαι εἰς Σικελίαν, Καλαυρίαν, Κορσίδα καὶ ἀλλαχοῦ, διέσωσαν καὶ τὴν πάτριον αὐτῶν θρησκείαν καὶ τὴν γλῶσσαν, καὶ ἐδίδασκον τὰς τέχνας καὶ ἐπιστήμας τῶν ἑαυτῶν προγόνων. Ἀλλὰ καὶ αὐτοὶ οἱ ἐν Εὐρώπῃ ἀσμένως ἀποδεχόμενοι τοὺς μετανάστας τούτους, καθίδρυον παντα-χοῦ Σχολεῖα πρὸς ἐκμάθησιν, ὧν ἐκεῖνοι μεθ' ἑαυτῶν ἔφερον γνώ σεων. Οὕτως, ὅτε ὁ Ἀκούρσιος διερμηνεύει ἐν Βονωνίᾳ τὰς Ἑλληνιστὶ συντεταγμένας Νεαρὰς τῆς τοῦ Ἰουστινιανοῦ Νομοθεσίας, ἡ Σύνοδος τῆς Βιέννης, καὶ συμφώνως ὁ Πάπας Κλήμης ὁ Ε'. τῷ 1311 ἔτει, διατάττουσιν, ἵνα καθιδρυθῶσι δημόσια Ἐκπαιδευτήρια Ἑλληνικῆς εἰς τὰς μεγάλας πόλεις τῆς Ἰταλίας, ἐν ἑκάστῃ δὲ πόλει μεταφράζωσι δύο καθηγηταὶ ἐκ τῆς Ἑλληνικῆς εἰς τὴν Λατινίδα τῶν Ἀττικῶν Συγγραφέων καὶ τῶν Πατέρων τῆς Ἐκ-κλησίας τὰ Συγγράμματα. Κατὰ ταύτην τὴν ἑκατονταετηρίδα λήγουσαν, ἤτοι τῷ 1397, καὶ Μανουὴλ ὁ Χρυσολωρᾶς, ὡς ἄλλος Πλάτων, προσκαλεῖται ἐν Φλωρεντίᾳ παρὰ τῆς δημοκρατίας διδάσκαλος τῆς Ἑλληνικῆς Γραμματικῆς καὶ Ῥητορικῆς. Εἶτα δὲ καὶ εἰς Παυΐαν, Βενετίαν καὶ Ῥώμην, πρὸς ἐκπαίδευσιν τῆς νεολαίας. Καὶ μετὰ τὴν πτῶσιν δὲ τοῦ Βυζαντινοῦ Κράτους, οἱ σοφοὶ τοῦ Βυζαντίου, πρὸς οὓς ὁ νεώτερος πολιτισμὸς ὀφείλει τὴν διατήρησιν τῆς γλώσσης καὶ τῶν ἐπιστημῶν, διεβίβασαν ἐν Εὐρώπῃ τῆς πάλαι γνώσεως τὴν λαμπάδα, τὰς παραδόσεις καὶ τὴν συνέχειαν τοῦ Ἑλληνισμοῦ. Καὶ ἰδοὺ, Λάσκαρις (Ἰωάννης) ὁ Ῥυνδακηνὸς, κάθηται ἐπὶ τῆς τραπέζης τῶν ἰσχυρῶν τῆς γῆς Καρόλου τοῦ Η'. καὶ Λουδοβίκου ΙΒ'. Καὶ οὗτος δὲ καὶ Δημήτριος ὁ Χαλκοκονδύλης, καὶ Θεόδωρος ὁ Σπανδονῆς, καὶ Παῦλος ὁ Ταρ-

χανιώτης διδάσκουσιν ἐν Φλωρεντίᾳ· Λαυρέντιος ὁ Βάλλας, Γεώργιος ὁ Καστελλῶνος, Δημήτριος ὁ Γραικὸς καὶ Γεώργιος ὁ Τραπεζούντιος καταφεύγουσιν εἰς Ἰταλίαν, οὓς ὁ Πάπας Νικόλαος Ε'. ἄσμενος ὑποδεχθεὶς, καὶ πανταχόθεν τῆς Ἑλλάδος συναθροίσας τὰς Ἑλληνικὰς βίβλους, μισθοῖς ἁδροῖς καὶ βραβείοις ἔπεισεν, ἵνα μεταφράσωσιν αὐτὰς εἰς τὴν Λατινίδα φωνήν. Ἀντώνιος ὁ Κοντοβράκης πρῶτος ἐδίδαξε τὰ ἐγκύκλια τῶν μαθημάτων ἐν Γερμανίᾳ καὶ τὴν Ἑλληνικὴν γλῶσσαν ἐν Γαλλίᾳ. Ἀργυρόπουλος ὁ Βυζάντιος ἐν Ῥώμῃ καὶ Κωνσταντῖνος ὁ Λάσκαρις ἐν Μεσσήνῃ τῆς Σικελίας.

§. 38. Πάντων τῶν ἐθνῶν ἡ Μουσικὴ μία ἐν γένει ἐστί· διαφέρει δ' ὅμως ἐν τῷ τοῦ μέλους σχηματισμῷ, ὃν ἰδίως ἕκαστον ἔθνος ἔχει κατὰ τὴν γλῶσσαν καὶ τὰ ἔθιμα αὐτοῦ. Τὴν ἐθνικὴν Μουσικὴν ἡμῶν, ἣν ἅγιοι ἄνδρες, Βασιλεῖς, Πατριάρχαι, Ἀρχιερεῖς, Ἱερεῖς, Διάκονοι καὶ Λαϊκοὶ ἐκαλλιέργησαν ἀλληλοδιαδόχως καὶ προήγαγον εἰς μέγα βαθμὸν ἐντελείας, αὐτὴν ταύτην καὶ οἱ Εὐρωπαῖοι παρέλαβον, παρ' οἷς καὶ αἱ πλεῖσται τῶν μουσικῶν λέξεων αὐτόχρημά εἰσιν Ἑλληνικαί. Ὥστε, καίτοι ἡ Εὐρωπαϊκὴ Μουσικὴ, ὡς ἐκ τῶν ῥηθέντων δείκνυται, ἐκ τῆς ἡμετέρας ἔχει τὴν καταγωγὴν αὐτῆς, διαφέρει ὅμως κατὰ τὸ εἶδος ἑκατέρα. Οὕτως ἡ μὲν Ἐκκλησιαστικὴ ἡμῶν Μουσικὴ, ἀπὸ τῆς ἐποχῆς Ἰωάννου τοῦ Δαμασκηνοῦ, καθ' ἣν αἱ ἱεραὶ ψαλμῳδίαι ἤρξαντο ψάλλεσθαι ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ὑπὸ κανονικῶν ψαλτῶν μετὰ μεγίστης προσοχῆς καὶ κατανύξεως, παρίσταται διὰ τῶν ὑπ' αὐτοῦ ἐπινοηθέντων, ὡς προείπομεν (§. 35.), συμβολικῶν χαρακτήρων· ἡ δ' Εὐρωπαϊκὴ, μετὰ τὰς πολλὰς, ἃς ὑπέστη ἀλλοιώσεις, καὶ τὰ διάφορα εἴδη γραφῆς, ἐκανόνισε καὶ παρεδέχθη, κατὰ τὸν ΙΕ'. αἰῶνα, τὴν καὶ μέχρι τοῦδε κοινῶς ἐν ἁπάσῃ τῇ Εὐρώπῃ ὑπάρχουσαν μουσικὴν σημειογραφίαν. Ἡ πρὸς ἄλληλα δὲ τῶν δύο τούτων εἰδῶν διαφορά ἐστιν, ὅτι ἡ μὲν ἡμετέρα Μουσικὴ διὰ τῶν συμβολικῶν τούτων χαρακτήρων ἁρμόζει κυρίως ἄσμασι διὰ τῆς φωνῆς ψαλλομένοις ἐν τῇ Ἐκκλησίᾳ πρὸς αἶνον τοῦ Κυρίου, διὸ καὶ μονοτονωτέρα· ἡ δὲ τῶν Εὐρωπαίων, ταῖς μουσουργικαῖς παραστάσεσι καὶ τῇ δι' ὀργάνων ἁρμονίᾳ, ὡς ἀποφεύγουσα τὴν μονῳδίαν τῆς ἡμετέρας, διὰ τοῦτο οὐδ' εὐαρεστεῖ τῇ ἀκοῇ εἷς μόνος ψάλλων παρ' ἐκείνας. Ὥστε, αὕτη μὲν εἰσήγαγεν εἰς τὴν Δυτικὴν Ἐκκλησίαν μέλη ψαλλόμενα ὑπὸ πολλῶν φωνῶν καὶ ὑπὸ μουσικῶν ὀργάνων· ἡ δὲ ἡμετέρα διεσώθη καὶ

διασωθήσεται πρέπουσα μόνον τοῖς Ἐκκλησιαστικοῖς ᾄσμασι καὶ ταῖς θρησκευτικαῖς ἡμῶν ὑμνῳδίαις, ἔχουσα καί τι ἀνώτερον, οὗπερ στερεῖται ἡ Εὐρωπαϊκὴ, ὅτι ἐν τῇ διὰ τῆς φωνῆς μελῳδίᾳ ἀκούεται καὶ ἄλλο τι, ὅπερ ἀΰλως πως ἐκφράζεται ἐκ τῆς σημασίας τῶν λέξεων.

§. 39. Μετὰ τὴν ἅλωσιν, προϊόντος τοῦ χρόνου, ἐν μὲν τῇ Εὐρώπῃ ἡ Μουσικὴ πανταχοῦ ὑποθαλπομένη, θαυμασίως προέβαινε, καὶ ἐπιστημονικῆς διαμορφώσεως τυχοῦσα καὶ κανονικῆς ἀείποτε διευθετήσεως, ἐτελειοποιήθη κατά τε ῥυθμοποιΐαν καὶ τὴν τῆς ἁρμονίας μεγαλοπρέπειαν. Ἀλλ' ἐν τῇ Ἀνατολῇ, δυστυχῶς, μένουσα κατὰ τὸ ἐπιστημονικὸν αὐτῆς μέρος πάντῃ ἀκαλλιέργητος, παρήκμαζε βαθμηδὸν ἀπογυμνουμένη τῆς ἀρχαίας αὐτῆς καλλονῆς καὶ χάριτος, ὡς συμμιγνυμένη μετὰ ξένων μελῶν καὶ ποικίλων νεωτερισμῶν διαστρεφόντων τὴν θαυμασίαν αὐτῆς ἐμμέλειαν, ἀλλὰ καὶ λέξεις ξένας προσελάμβανε, διασωζομένας ἐν αὐτῇ καὶ μέχρι τῆς σήμερον. Οὕτως ἀπωλέσασα κατ' ὀλίγον τὴν ἀρχαίαν αὐτῆς εὐπρέπειαν ἡ Ἐκκλησιαστικὴ Μουσικὴ ἡμῶν, καὶ μάλιστα ἐν τοῖς καθ' ἡμᾶς τούτοις χρόνοις, μετὰ τὴν ὑπὸ τῶν τριῶν Διδασκάλων ἐφευρεθεῖσαν νέαν μέθοδον, ἐξηλλοιώθη καὶ παρεμορφώθη διά τε τὰς συχνὰς πρὸ τοῦ τύπου ἀντιγραφὰς, διὰ τὰς ὑπὸ τοσούτων ἐκδοτῶν μετατυπώσεις, καὶ διὰ τὰς ἰδιοτρόπους ξενοφωνίας, τὰς παρεισφρησάσας εἰς τὰ ἱερὰ τῆς Ἐκκλησίας ᾄσματα, ἕνεκα τῆς ἀπειρίας, ἢ καὶ τῆς αὐταρεσκείας ἱεροψαλτῶν τινων, οἵπερ, ὅπως δῆθεν τὴν ἑαυτῶν τέχνην καὶ φωνὴν ἐπιδείξωνται, οἰκεῖα μελῳδοῦσιν ᾄσματα, καὶ ἦχους ῥυθμίζουσιν, ἀπὸ διφθέρας ψάλλειν μὴ καταδεχόμενοι, ὅλῳ δὲ τῷ σώματι δονούμενοι καὶ περιφερόμενοι, ἀτάκτους τε φωνὰς ἐπὶ τὸ θεατρικώτερον ἀφιέντες, καὶ περιφρονοῦντες τὸ γνήσιον καὶ σεμνὸν καὶ μεγαλοπρεπὲς ἀρχαῖον μέλος, συμμιγνύουσιν αὐτῷ ξένους ἄλλους μελισμοὺς, πάθη πονηρὰ μᾶλλον διεγείροντας, ἀντὶ τοῦ κινεῖν μετανοίας αἰσθήματα. Ἀλλ' ἀκουσάτωσαν, πῶς ὁ θεῖος Χρυσόστομος καταδικάζει τὴν ἐν ταῖς Ἐκκλησίαις ἐπὶ τὸ θεατρικώτερον ἀποκλίνουσαν ψαλμῳδίαν, λέγων· « Εἰσί τινες τῶν ἐνταῦθα, οὓς οὐδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν οἶμαι, οἵτινες καταφρονοῦντες μὲν τοῦ Θεοῦ, τὰ δὲ τοῦ Πνεύματος λόγια ὡς κοινὰ ἡγούμενοι, φωνὰς ἀτάκτους ἀφιᾶσι, καὶ τῶν μαινομένων οὐδὲν ἄμεινον διάκεινται, ὅλῳ τῷ σώματι δονούμενοι καὶ περιφερόμενοι, καὶ ἀλλότρια τῆς πνευματικῆς καταστάσεως ἐπιδεικνύμενοι τὰ ἤθη.

νή.

Ἄθλιε καὶ ταλαίπωρε! δέον σε δεδοικότα καὶ τρέμοντα τὴν Ἀγγελικὴν δοξολογίαν ἐκπέμπειν, φόβῳ τε τὴν ἐξομολόγησιν τῷ Κτίστῃ ποιεῖσθαι, καὶ διὰ ταύτης συγγνώμην τῶν ἐπταισμένων αἰτεῖσθαι· σὺ δὲ τὰ μίμων καὶ ὀρχηστῶν ἐνταῦθα παράγεις, ἀτάκτως μὲν τὰς χεῖρας ἐπανατείνων, καὶ τοῖς ποσὶν ἐφαλλόμενος, καὶ ὅλως περικλώμενος τῷ σώματι . . . Ὑπὸ τῶν ἐν τοῖς θεάτροις ἀκουσμάτων τε καὶ θεαμάτων τὸν νοῦν συνεσκοτίσθης, καὶ διὰ τοῦτο τὰ ἐκεῖσε πραττόμενα τοῖς τῆς Ἐκκλησίας ἀναφέρεις τόποις· διὰ τοῦτο ταῖς ἀσήμοις κραυγαῖς τὸ τῆς ψυχῆς ἄτακτον δημοσιεύεις. Πῶς οὖν τολμᾷς τῇ ἀγγελικῇ ταύτῃ δοξολογίᾳ τὰ τῶν δαιμόνων ἀναμιγνύειν παίγνια » (1); Καὶ ὁ Ἱερώνυμος δὲ, ἀφορμὴν λαβὼν ἐκ τῶν τοῦ Ἀποστόλου Παύλου λόγων τούτων· « Πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις » κτλ, λέγει· « Ἀκουέτωσαν ταῦτα οἱ νεανίσκοι, ἀκουέτωσαν οἱ ἔργον ἔχοντες νὰ ψάλλωσιν ἐν τῇ Ἐκκλησίᾳ, ὅτι δὲν πρέπει νὰ ψάλλωμεν τῷ Θεῷ διὰ τῆς φωνῆς, ἀλλ' ἀπὸ τῆς καρδίας, οὐδὲ νὰ ἁπαλύνωμεν, ὡς οἱ τραγῳδοὶ, τὸν λάρυγγα διὰ γλυκέος φαρμάκου, ὅπως ἀκούωνται ἐν τῇ Ἐκκλησίᾳ θεατρικὰ μέλη καὶ ᾄσματα, ἀλλὰ διὰ τοῦ φόβου τοῦ Θεοῦ, διὰ τῶν ἔργων, διὰ τῆς ἐπιστήμης τῶν Γραφῶν. Καὶ εἴ τις δὲ ὑπάρχει, ὡς συνήθως ἐκεῖνοι ἀποκαλοῦσι, κακόφωνος, ἐὰν ἔχῃ καλὰ ἔργα, γλυκὺς οὗτος παρὰ τῷ Θεῷ εἶναι ψάλτης. Οὕτω δὲ ψαλλέτω ὁ δοῦλος τοῦ Χριστοῦ, ὅπως μὴ ἡ φωνὴ τοῦ ψάλλοντος, ἀλλὰ τὰ ῥήματα τὰ ἀναγινωσκόμενα ἀρέσκωσιν· ὅπως τὸ πονηρὸν πνεῦμα, τὸ ὂν ἐν Σαοὺλ, ἐξελαύνηται ἀπὸ τῶν κατεχομένων ὁμοίως ὑπ' αὐτοῦ, καὶ μὴ εἰσάγηται εἰς τοὺς ποιήσαντας τὸν οἶκον τοῦ Θεοῦ σκηνὴν τῶν ἐθνῶν » (2). Ἀλλὰ καὶ ὁ Μ. Βασίλειος ἐν τῷ πρὸς τοὺς νέους Παραινετικῷ, συμβουλεύων αὐτοῖς, ἵνα ὦσι τὰς ψυχὰς καθαροὶ, τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζοντες, ἀπαγορεύει τὴν τὰς ψυχὰς διαφθείρουσαν μελῳδίαν, καὶ συνίστησι τὴν ἑτέραν, τὴν ὑγιᾶ καὶ σεμνὴν καὶ ἀμείνω, τὴν τὸν νοῦν πρὸς Θεὸν καὶ τὴν καρδίαν ἀνυψοῦσαν καὶ φέρουσαν· « Κάθαρσις ψυχῆς, φησι, τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν . . . Μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν· ἀνελευθερίας γὰρ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιούτου τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν· ἀλλὰ τὴν ἑτέραν (Μουσικὴν) μετα-

(1) Χρυσοστόμ. λόγος εἰς Ὠσηέ. 1. (2) Hieronym. Comm. Ephes. v. 19.

διωκτέον ἡμῖν, τὴν ἀμείνω καὶ εἰς ἄμεινον φέρουσαν . . . Τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι· ὥστε τῆς νῦν δὴ κρατούσης ταύτης ἧττον ἡμῖν μεθεκτέον ἢ οὐστινοσοῦν τῶν αἰσχίστων ».

§. 40. Ἡ ἐν ταῖς Ἐκκλησίαις ψαλμῳδία, παράκλησίς ἐστι πρὸς Θεόν· Διὸ καὶ ὁ ψάλλων ὀφείλει, ἵνα ἔχῃ ἦθος ταπεινὸν καὶ κατανενυγμένον· αἱ δὲ κραυγαὶ ἐμφαίνουσιν ἦθος θρασὺ καὶ ἀνευλαβές. Ταύτας, καὶ ἄλλα ἀνάρμοστα τῇ Ἐκκλησίᾳ ἀπαγορεύων καὶ ὁ ΟΕ'. Κανὼν τῆς ΣΤ'. Οἰκουμενικῆς ἁγίας Συνόδου, λέγει· « Τοὺς ἐπὶ τῷ ψάλλειν ἐν ταῖς Ἐκκλησίαις παραγινομένους, βουλόμεθα, μήτε βοαῖς ἀτάκτοις κεχρῆσθαι καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκδιάζεσθαι, μήτε τι ἐπιλέγειν τῶν μὴ Ἐκκλησίᾳ ἁρμοδίων τε καὶ οἰκείων· ἀλλὰ μετὰ πολλῆς προσοχῆς καὶ κατανύξεως τὰς τοιαύτας ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ· εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ἰσραὴλ τὸ ἱερὸν ἐδίδαξε λόγιον. » Ἐπαινετὰ καὶ παντὸς λόγου ἄξιά εἰσι καὶ ἅπερ λέγει ὁ σοφώτατος Μελέτιος ὁ Πηγᾶς ἐν τῷ γ'. περὶ Χριστιανισμοῦ γράφων. « Ὥσπερ οὖν τὸ σεμνὸν καὶ σύμμετρον τῆς Μουσικῆς εὐπρόσιτον διὰ τὸ ἀκμαιοτέρας κατασκευάζειν τὰς καρδίας, οἷον ἀνασπῶσαν τὴν ψυχὴν τοῦ σώματος· ἁρμονία γὰρ τῷ πνεύματι οἰκειότατον, μέσην ἔχουσα φύσιν, σώματός τε παχύτητος, καὶ πνεύματος ἀϋλότητος· οὕτω πάλιν ὑπέρμετρος Μουσικὴ, καὶ τῷ ἡδεῖ παρὰ τὸ μέτρον ἐνασχολουμένη, οὐχ ἡδύνει, ἀλλ' ἐκλύει . . . διὰ τοῦτο γὰρ καὶ φωνὰς μόνον τῶν ἀνθρώπων ἀποδεχόμενοι ἐν τῇ Ἐκκλησίᾳ, ὡς φύσει ἐνυπαρχούσας καὶ ἀπεριέργους, τὰ δι' ὀργάνων κρούματα καὶ ἐμπνεύματα ἀποδιοπομποῦσιν ὡς περιεργωδέστερα οἱ θεῖοι Πατέρες. » Ἅπερ ἤδη τῶν καθ' ἡμᾶς Μουσικῶν τινες, ὡς προείρηται, διὰ τῶν ὀργανοειδῶν, οὕτως εἰπεῖν, ᾀσμάτων αὐτῶν καὶ τῶν ποικίλων λαρυγγισμῶν, ἀπομιμοῦνται ψάλλοντες ἐν φωναῖς ὑψηλαῖς καὶ ἀσήμοις, κεφαλὴν καὶ χεῖρας καὶ πόδας καὶ ἅπαν τὸ σῶμα εἰς ἄτακτον κίνησιν καὶ περιφορὰν καταναγκαζούσαις (1).

---

(1) Ὁ ἀοίδιμος Νικόδημος ὁ Ἁγιορείτης ἐν τῷ ἱερῷ Πηδαλίῳ (σελ. 464) ἑρμηνεύων τὸν ἀνωτέρω ΟΕ'. Κανόνα τῆς ΣΤ'. Οἰκουμενικῆς Συνόδου, ἐν τῇ ὑποσημειώσει, « Τὰ δὲ τερερίσματα, λέγει, καὶ νενανίσματα τὰ ψαλλόμενα, δὲν φαίνονται νὰ ἦναι παλαιά, ἀλλὰ νεωτερικά· καθότι εἰς τὰ ἐπιγραφόμενα τῷ Δαμασκηνῷ Ἰωάννῃ καὶ τοῖς ἄλλοις παλαιοῖς Μουσικοῖς πονήματα, δὲν εὑρίσκονται τοιαῦτα ἄσημα λόγια καὶ κρατήματα. Φαίνεται δὲ νὰ ἤρχισαν ἀπὸ τὸν καιρὸν

§. 41. Ταύτας οὖν τὰς ἰδιοτρόπους ξενοφωνίας καὶ τοὺς ἀλλοκότους νεωτερισμοὺς, οἵτινες παρεισφρήσαντες εἰς τὰ ἱερὰ τῆς Ἐκκλησίας ἄσματα, ἐξηλλοίωσαν καὶ παρεμόρφωσαν τὸ ἀρχαῖον σεμνὸν καὶ μεγαλοπρεπὲς μέλος, καταργῆσαι ὅλως ἐπιθυμοῦσα, καὶ τὴν Ἐκκλησιαστικὴν Μουσικὴν εἰς τὴν ἀρχαίαν αὐτῆς εὐκοσμίαν ἐπαναγαγεῖν βουλομένη ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, ἡ διηνεκῶς μεριμνῶσα περὶ παντὸς ἀφορῶντος τὴν πνευματικὴν τῶν τέκνων αὐτῆς ὠφέλειαν, ἐξέδοτο Πατριαρχικὸν Συνοδικὸν Κανονισμὸν, πῶς δεῖ ψάλλειν τοὺς Ἱεροψάλτας θεσπίζοντα, καὶ τὴν ἀρχαίαν Πατριαρχικὴν Μουσικὴν Σχολὴν ἀσφαλῶς ἐστερέωσεν. Ἡ Πατριαρχικὴ ἢ Ἐθνικὴ αὕτη Μουσικὴ Σχολὴ, ὥσπερ καὶ ἡ Πατριαρχικὴ Ἑλληνικὴ Σχολὴ, ὑπῆρχε πάντως ἀκμάζουσα καὶ ἐπ' αὐτῆς τῆς Βυζαντινῆς ἐποχῆς, καὶ πρὸς τοῦτο οὐδεὶς βεβαίως ὁ ἀντιλέξων, ἐὰν ὀρθῶς σκέπτηται· καὶ γὰρ οὐ μόνον καὶ βασιλεῖς (1) καὶ Κλῆρος ἱερὸς καὶ Ἄρχοντες, ἀλλὰ καὶ πλεῖστοι τῶν ἐκ τοῦ λαοῦ ἀκριβῶς ἠπίσταντο τὴν Ἐκκλησιαστικὴν Μουσικὴν, ὧν οὐκ ὀλίγα τῶν μελουργημάτων μέχρι τῶν καθ' ἡμᾶς χρόνων ἐσώθησαν. Ἐξαιρουμένων δὲ τῶν Βασιλέων καὶ τῶν Ἀρχόντων, οἵτινες ἠδύναντο ἐκμανθάνειν τὴν Μουσικὴν, διδασκόμενοι ἰδίᾳ παρὰ τῶν ἀρίστων Διδασκάλων, τῶν κατὰ καιροὺς Πρωτοψαλτῶν ἢ καὶ Λαμπαδαρίων τῆς Ἁγίας Σοφίας, οἷοι κλείζονται Νικηφόρος ὁ Ἠθικὸς, Ἰωάννης ὁ Γλυκὺς, Ξένης ὁ Κορώνης, Μανουὴλ ὁ Ἀγαλλιανὸς, Ἰωάννης ὁ Κουκουζέλης, Ἰωάννης ὁ Κλαδᾶς, Γρηγόριος Μπούνης ὁ Ἀλιάτης, Μανουὴλ ὁ Χρυσάφης καὶ τοσοῦτοι ἄλλοι, ὑπῆρχον βεβαίως καὶ Σχολεῖα Μουσικῆς, καὶ ἰδίως Πατριαρχικὴ Σχολὴ, ἔνθα πολλοὶ ἐδιδάσκοντο τὴν ἀρχαίαν ἐκείνην καὶ δυσμάθητον γραφὴν, διότι καὶ οἱ Ναοὶ ἦσαν

Ἰωάννου τοῦ Κουκουζέλου. Περὶ τοῦ κρατήματος τε-ρι-ρὲμ, ἴδ. Βιογραφ. Κωνσταντ. Πατριάρχ. τοῦ ἀπὸ Σιναίου, ἐκδοθεῖσαν παρὰ Θ. Ἀοιστοκλέους.

(1) Ἐν §. 31 ἠριθμήσαμεν καὶ Βασιλεῖς ποιητὰς Κανόνων καὶ Τροπαρίων καὶ ἄλλων ἀσμάτων, καὶ αὐτοὺς τούτους βλέπομεν χοροστατοῦντας, οἷον Θεόφιλον τὸν Αὐτοκράτορα, ὅστις, κατὰ τὸν Κεδρηνὸν, μελίζων σιχηρὰ καὶ διαδοὺς τοῖς ψάλταις, προέτρεπεν αὐτοὺς ἵνα ψάλλωσιν· ἀλλὰ καὶ αὐτὸς ἐν φαιδραῖς Πανηγύρεσιν ἔψαλλε χειρονομῶν τῇ πολυτέχνῳ χειρονομίᾳ· Λέοντα τὸν σοφὸν καὶ Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ, Θεόδωρον τὸν Λάσκαριν, οὕτινος καὶ Κοινωνικὸν σώζεται, καὶ ἄλλους· ὁ δὲ Λέων ὁ Ἴσαυρος, κατὰ τὸν Χωνειάτην, ἐν τῇ ἑορτῇ τῆς Χριστοῦ Γεννήσεως, καθ' ἣν χοροστατῶν αὐτὸς ἔψαλλε τὸν Εἱρμὸν τοῦ Κανόνος «Τῷ Παντάνακτος ἐξεφαύλισαν πόθῳ,» ἐφονεύθη ὑπὸ τῶν περὶ τὸν Μιχαὴλ τὸν Ἀμορραῖον συνομοτῶν, ἐν τῷ Ναῷ τῆς Θεοτόκου τοῦ Φάρου.

πολλοὶ καὶ μέγιστοι, καὶ οἱ ἐν αὐτοῖς ψάλλοντες διὰ τοῦτο πολλοί· περὶ τούτων, ὡς καὶ περὶ πάντων τῶν ἄλλων τῶν εἰς τὴν λατρείαν τοῦ Κυρίου ἀσχολουμένων, αὐτοὶ οἱ τῶν ἱερῶν Ναῶν δομήτορες Βασιλεῖς προηγουμένως ἐφρόντιζον, καθιστάντες αὐτοὺς καὶ συντηροῦντες δι' αὐτάρκων χορηγιῶν. Οὕτως ἐν Νεαρᾷ Γ'. Ἰουστινιανοῦ εὑρίσκομεν αὐτὸν λέγοντα· «Ὡς ἕκαστος τῶν τὰς ἁγίας Ἐκκλησίας οἰκοδομησαμένων ἐπὶ τῆς εὐδαίμονος ταύτης Πόλεως, οὐκ οἰκοδομίας ἐφρόντισε μόνης, ἀλλὰ καὶ τὴν χορηγίαν αὐτάρκη δοῦναι . . . καὶ αὖθις ψάλτας τε καὶ ἀναγνώστας καθιστάναι.» Ἀλλ' ἡ μὲν Πατριαρχικὴ Ἑλληνικὴ Σχολὴ εὐτυχῶς διεσώθη (1), καὶ νῦν ἔτι ἀκμάζουσα σώζεται· Πατριαρχικῆς δὲ Μουσικῆς Σχολῆς οὐδὲ τοὔνομα ἠκούετο, ἡ διδασκαλία ὅμως οὐδέποτε ἐπαύσατο γινομένη παρά τε τῶν κατὰ καιροὺς Ἱεροψαλτῶν τοῦ Πατριαρχικοῦ Ναοῦ καὶ τῶν ἄλλων Μουσικοδιδασκάλων.

§. 42. Ἐκ τῶν καλλιτεχνιῶν μόναι, ὡς ἀνήκουσαι εἰς τὴν ἐκπαίδευσιν, ἐθεωροῦντο ἡ Καλλιγραφία (2), μηδόλως ὅμως διδασκομένη ὡς μάθημα ἴδιον, καὶ ἡ Ἐκκλησιαστικὴ Μουσική. Ὁ μαθητὴς τῶν προγενεστέρων Σχολείων, ἐν τῇ χωρικῇ οὕτως εἰπεῖν ἐκείνῃ κατὰ τὴν ἁπλότητα κοινωνίᾳ, ὁσάκις ἦν αὐτῷ δυνατὸν, κατῴκει περὶ τὸν Ναὸν, ἔνθα καὶ ἡ Σχολὴ, ὡς ἔνι τινι Μονῇ, ἢ καὶ ἐν αὐτῇ τῇ Σχολῇ, ὡς ἐν Κωνσταντινουπόλει, Ἰωαννίνοις, Κυδωνίαις, Πάτμῳ καὶ ἀλλαχοῦ, ὅπου ὑπῆρχον μεγάλαι Σχολαί· ζῶν δὲ μετ' ἄκρας λιτότητος καὶ ἁπλότητος ἠγάπα τὸν Διδάσκαλον αὐτοῦ, φροντίζων μόνον περὶ τῆς ἐκπαιδεύσεως αὐτοῦ καὶ οὐδόλως ὑπὸ τοῦ ἐξωτερικοῦ κόσμου περισπώμενος· ἐν δὲ ταῖς ἀπὸ τῶν μαθημάτων ἀνέσεσιν αὐτοῦ, ἀσμένως ἠσχολεῖτο καὶ εἰς τὴν Ἐκκλησιαστικὴν Μουσικὴν, ὑπηρετῶν ἐντὸς τοῦ ἱεροῦ Βήματος ἐν καιρῷ τῶν Ἱερῶν Ἀκολουθιῶν, ἢ κανοναρχῶν, ψάλλοντος πολλάκις αὐτοῦ τοῦ Διδασκάλου, καὶ ἀναγινώσκων περικοπὰς Ἀποστόλων καὶ Προφητῶν καὶ ἄλλα τινὰ ἐπ' Ἐκκλησίας ἀναγνώσματα. Οἱ δὲ γονεῖς φοιτῶντες εἰς τὸν Ναὸν καὶ τὰ τέκνα ἑαυτῶν τοιαῦτα ἐκτελοῦντα καθήκοντα βλέποντες,

(1) Ἴδε ἐν Βιογραφ. Κωνσταντίου Πατριάρχ. περὶ τῆς Βυζαντινῆς Πατριαρχικῆς Ἑλληνικῆς Σχολῆς. (2) Εἴδομεν ὀγκώδεις Τόμους Μουσικοὺς χειρογράφους, οὕτω καλλιγραφικώτατα γεγραμμένους, ὥστε θαυμάζει τις τὸ λίαν ἐπιδέξιον τῆς καλλιγραφούσης χειρὸς τῶν ἀόκνων καὶ ἀκαμάτων ἐκείνων Ἀντιγραφέων.

στερεώτερον συνδεδεμένην ἠσθάνοντο τὴν μετὰ τῆς Σχολῆς καὶ τοῦ Ναοῦ σχέσιν αὐτῶν. Τὴν σχέσιν ταύτην τῆς Ἐθνικῆς παιδείας πρὸς τὴν θρησκείαν, ἐξ ἧς πηγάζει ὁ τῆς Ὀρθοδοξίας Ἐθνικὸς χαρακτὴρ, συντρέχουσα ἡ Ἐκκλησία καὶ στενῶς συνδέουσα, διέσωζε τὴν κιβωτὸν τῆς παιδείας καὶ διεδίδου τὰ φῶτα αὐτῆς, πρὸς οὐδὲν οὔτε πολιτικὸν, οὔτε κληρικὸν ἴδιον καὶ ἀντίθετον τῇ κοινωνίᾳ συμφέρον ἀποβλέπουσα, ἀλλὰ μάλιστα ὡς ἀδελφὴν τῆς Ἐκκλησιαστικῆς τὴν Ἑλληνικὴν θεωροῦσα παιδείαν. Ὁ δὲ μαθητὴς τῶν καθ' ἡμᾶς χρόνων εὑρίσκει μὲν ἐν τῇ Σχολῇ σήμερον μείζονα ποικιλίαν γνώσεων καὶ θεωριῶν καὶ δοκιμωτέραν μέθοδον, ἐκτὸς ὅμως αὐτῆς εὑρίσκει ἀπείρους ἄλλους πολυειδεῖς περισπασμοὺς πάντῃ ἀγνώστους τοῖς πατράσιν ἡμῶν· τὸν δὲ κατὰ τὰς ἀνέσεις αὐτοῦ χρόνον καταδαπανῶν εἰς ἀνάγνωσιν μυθιστορημάτων καὶ ἄλλων ἀσκόπων βιβλίων, βραδὺς καθίσταται βαθμηδὸν καὶ εἰς τὴν τῶν θρησκευτικῶν αὐτοῦ καθηκόντων ἐκπλήρωσιν. Ἐν τούτοις ὢν καὶ εἰς τοιαῦτα ἀσχολούμενος, πῶς ἂν μνησθείη καὶ Μουσικῆς τῆς Ἐκκλησιαστικῆς, πρὸς αὐλὸν κορυβαντιῶν καὶ ἐκβακχευόμενος; Διὰ ταῦτα μεγίστη ψυχρότης καὶ ἀδιαφορία πρὸς ἐκμάθησιν τῆς καλῆς ταύτης τέχνης ἐνυπάρχει παρὰ τῇ καθ' ἡμᾶς νεολαίᾳ. Ἐκ δὲ τῶν ἤδη Ἱεροψαλτῶν ὀλίγοι εἰσὶν οἱ δόκιμοι, καὶ κινδυνεύει, μήποτε ἐκλιπόντων καὶ τούτων ἀπολεσθῇ τὸ καλὸν τοῦτο τῶν ἡμετέρων πατέρων κληροδότημα. Ἀλλὰ θείᾳ χάριτι, ἡ κοινὴ Μήτηρ ἡμῶν, ἡ Μεγάλη τοῦ Χριστοῦ Ἐκκλησία, ἡ ἀεννάως προνοοῦσα καὶ μεριμνῶσα ὑπὲρ τῆς πνευματικῆς ὠφελείας τῶν ἑαυτῆς τέκνων, ἡ ἐν τοῖς κόλποις αὐτῆς διατηρήσασα καὶ τὴν γλῶσσαν καὶ τὴν Μουσικὴν, τὰ δύο ταῦτα προγονικὰ ἀγαθὰ, προλαμβάνει τὸ κακὸν, καὶ ἀποδιοπομπεῖ τὸν ἐπικείμενον φόβον τῆς παντελοῦς ἀγνοίας τῆς Ἐκκλησιαστικῆς Μουσικῆς. Καὶ ἰδοὺ ἡ ἔνθερμος καὶ εὐεργετικὴ φιλογένεια τῆς τε Θειοτάτης **Α. Παναγιότητος** καὶ τῆς ἁγίας καὶ Ἱερᾶς Συνόδου, τὴν ἀρχαίαν ἐκείνην Πατριαρχικὴν Σχολὴν τῆς Ἐκκλησιαστικῆς Μουσικῆς, τὴν κατὰ τὸ **1815** ἔτος μόλις ἀναφανεῖσαν, καὶ μετ' ὀλίγον σιγήσασαν, εἶτα δὲ καὶ ἐπὶ τῆς πρώτης Πατριαρχείας Ἀνθίμου τοῦ ς΄. μικρὸν διαρκέσασαν, πρὸ δύο δὲ ἐτῶν αὖθις συστᾶσαν, ἀνεγείρει ἤδη καὶ ἐπὶ ἀκραδάντοις βάσεσι στερεοῖ, Κανονισμὸν, ὡς προέφημεν, τελειότερον ἐκδοῦσα, Ἐφορίαν προεδρευομένην ὑπὸ Συνοδικοῦ Ἀρχιερέως συστήσασα, καὶ Διδασκάλους ἐν αὐτῇ κατ' ἐκλογὴν διορίσασα, πρός τε συστηματικὴν καὶ

συνεχῆ διδασκαλίαν τῆς ἱερᾶς καὶ καλῆς τέχνης, καὶ πρὸς διάδοσιν καὶ διάσωσιν τοῦ ἀρχαίου, γνησίου, σεμνοῦ καὶ μεγαλοπρεποῦς μέλους. Ἵνα δὲ βαθμηδὸν ἐκλείψωσιν ὅλως αἱ ἰδιότροποι ξενοφωνίαι, καὶ πάντα τὰ ἱερὰ ᾄσματα τῆς Ἐκκλησίας ψάλλωνται συμφώνως καὶ ἀπαραλλάκτως, οἱ ἐν τοῖς θείοις Ναοῖς τῆς Κωνσταντινουπόλεως καὶ τῶν περιχώρων αὐτῆς Ἱεροψάλται, συνερχόμενοι κατὰ πᾶσαν δεκαπενθημερίαν, ὡς τὸ 13 ἄρθρον τοῦ Κανονισμοῦ διατάσσει, ἐν τῇ Σχολῇ, παρούσης καὶ τῆς Ἐφορίας μετὰ τοῦ Προέδρου, ψάλλουσι κατὰ χορούς προμεμελετημένα ὡρισμένης Ἀκολουθίας Τροπάρια καὶ μαθήματα. Τρὶς δὲ τῆς ἑβδομάδος, κατὰ τὸ Πρόγραμμα τῆς Σχολῆς, γινομένης τακτικῶς τῆς διδασκαλίας, φοιτῶσιν ἤδη ἐν αὐτῇ δι' εἰσιτηρίων εἰσαχθέντες μαθηταὶ, διῃρημένοι εἰς τάξεις, ἐν οἷς καὶ Ἱεροδιάκονοι, καὶ τῶν ψαλτῶν τινες μήπω ἐγκρατεῖς τῆς τέχνης, καὶ παῖδες ἐκ τῶν Ἑλληνικῶν Σχολείων κατ' ἐκλογὴν ἡδύφωνοι.

§. 43. Ἡ τῆς Σχολῆς ἀνέγερσις, ἀφορμὴ ἐγένετο καὶ ἑτέρου καλοῦ, τῆς ἐκδόσεως ἁπάντων σχεδὸν τῶν Μουσικῶν μαθημάτων ἐκδεδομένων καὶ ἀνεκδότων ἐν ἑνὶ Περιοδικῷ Μουσικῷ τῷ δε Συγγράμματι. Ἐπειδὴ ἔδοξε τῷ Συλλόγῳ τῶν Διδασκάλων, ἵνα ὁρισθῶσι τὰ διδαχθησόμενα μαθήματα, τετραμελὴς περὶ τούτου Ἐπιτροπὴ διορισθεῖσα παρὰ τοῦ Σεβασμιωτάτου ἁγίου Χίου, Προέδρου τοῦ μουσικοῦ Διδασκαλείου ἐν τῇ συστάσει τῆς Σχολῆς, καὶ ἱκανῶς συσκεφθεῖσα, ἀπεφάνθη, ὅπως εἰσαχθῶσιν εἰς τὴν Σχολὴν τὰ ἑξῆς Μουσικὰ Βιβλία καὶ μαθήματα, ἅπερ καὶ ἐνεκρίθησαν παρά τε τοῦ Σ. Προέδρου καὶ τοῦ Συλλόγου τῶν Διδασκάλων· οἷον, Σύντομον στιχηραρικὸν μέλος, ἤτοι Ἀναστασιματάριον καὶ Δοξαστάριον Πέτρου Λαμπαδαρίου τῆς Α'. ἐκδόσεως: Ἀργὸν Στιχηράριον Ἰωάννου τοῦ Δαμασκηνοῦ καὶ τῶν λοιπῶν, ἀνέκδοτον μέχρι τοῦδε, καὶ τὸ συντετμημένον παρὰ Ἰακώβου πρωτοψάλτου Δοξαστάριον ἐκδεδομένον: Εἱρμολόγιον τῶν Καταβασιῶν ἀργὸν καὶ σύντομον Π. Λαμπαδαρίου: Ἀνθολογία, ἡ τετράτομος Πανδέκτη: Τὸ καλοφωνικὸν Εἱρμολόγιον, καὶ κατ' ἐκλογὴν μαθήματα τῆς Παπαδικῆς, μελοποιηθέντα παρὰ διαφόρων τῆς Βυζαντινῆς ἐποχῆς Μουσικοδιδασκάλων, μέχρι τοῦδε ἀνέκδοτα. Ἵνα δὲ καὶ ἡ Ἐκκλησιαστικὴ ἡμῶν Μουσικὴ περιβάληται τὸν διερρηγμένον ὑπὸ τοῦ νεωτερισμοῦ ἀρχαῖον ἐκεῖνον καὶ σεμνοπρεπῆ χιτῶνα, ἐκρίθη ἀναγκαῖον, ὅπως τὰ μαθήματα ταῦτα ὦσιν εἰς τὸ ἑξῆς κεκαθαρισμένα ἀπὸ τῶν παρεισφρησάντων

ἐν πολλοῖς αὐτῶν διαφόρων ξενισμῶν, ἕνεκα τῶν πρὸ τοῦ τύπου, ὡς προείρηται, συνεχῶν ἀντιγραφῶν, τῶν τοσούτων ἔπειτα μετατυπώσεων, καὶ τῆς ἀπειρίας ἢ αὐταρεσκείας τινῶν ἱεροψαλτῶν. Πρὸς δὲ τὴν τοιαύτην ἐκκαθάρισιν τὸ μόνον συντελοῦν ἐστιν ὁ παραλληλισμὸς τῆς ὑπὸ τῶν τριῶν Διδασκάλων ἐξηγήσεως μετὰ τῆς παλαιᾶς Π. τοῦ Πελοποννησίου, καὶ αὐτῆς τῆς τοῦ Π. μετὰ τῆς ἔτι ἀρχαιοτέρας. Καὶ ἰδοὺ ἀπάσης τῆς ἐνιαυσίου Ἀκολουθίας τὰ μαθήματα ἀργὰ καὶ σύντομα, ἀπὸ τοῦ ἀναλυτικοῦ τρόπου ἐπὶ τὸ συνοπτικώτερον μεταπεποιημένα, καὶ εἰς τὸ ἀρχαῖον σεμνὸν Ἐκκλησιαστικὸν μέλος διὰ τοῦ παραλληλισμοῦ καὶ τῆς παραθέσεως τοῦ παλαιοῦ καὶ τοῦ νέου κειμένου μετενηνεγμένα, τῇ συντόνῳ προσοχῇ καὶ ἐπιμόνῳ καρτερίᾳ καὶ ἐπιμελείᾳ ἡμῶν, ἐκδίδονται ἤδη τὸ πρῶτον ἅπαντα ὁμοῦ ἐν τῇδε τῇ μεγάλῃ Δέλτῳ, ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ, καταλλήλως ὀνομασθείσῃ, ὡς πολλὰ συμπληρούσῃ βιβλία Μουσικά, σὺν οἷς δὲ καὶ πλεῖστα ἄλλα ἀμελοποίητα μέχρι τοῦδε περιεχούσῃ, καὶ εἰς Τόμους διῃρημένῃ, ἓν ὅλον ἀπαρτίζοντας.

§. 44. Ἡ ΜΟΥΣΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ αὕτη οὐ χρῄζει ἐπαίνου καὶ συστάσεως, οὖσα αὐτὴ καθ' ἑαυτὴν αὐτοσύστατος, ὡς περιέχουσα ὕλην ἄφθονον καὶ ἐκλεκτήν, μαθήματα τῶν τε ἐπὶ τῆς Βυζαντινῆς ἐποχῆς Μουσικοδιδασκάλων ἀξιοσπούδαστα καὶ πολύτιμα, τὰ πλεῖστα μέχρι τοῦδε ἀνέκδοτα, καὶ τῶν μετὰ τὴν ἅλωσιν Μελοποιῶν ἄχρι τῆς ἐποχῆς τῶν τριῶν Διδασκάλων, καὶ τὸν βίον ὅλων αὐτῶν· ἔτι δὲ καὶ τὰ νεωστὶ μελοποιηθέντα παρ' ἡμῶν.

